Οὐδὲ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου:

Οὐδὲ μὴ μνησθῶ: — Πολλαὶ μέν φησι ἐπαξίως τῶν πράξεων αὐτῶν ἐπήγοντο προσηγορίαι· εἰδωλολάτραι· πολύθεοι· ἄθεοι ὀνομαζόμενοι· νῦν δὲ οὐκέτι μνησθήσομαι τῶν ὀνομάτων αὐτῶν:

Κύριος μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου·

Κύριος μερὶς τῆς κληρονομίας: — Ἀνθρωπίνως ἐνταῦθα λέγει· κληρονομίαν μὲν καλῶν τὴν τῶν ἐθνῶν βασιλείαν· ποτήριον δὲ, ὃν ὑπὲρ ἡμῶν ὑπέμεινεν θάνατον: — Κληρονομία ἐστὶ φύσεως λογικῆς· ἡ θεωρία τῶν γεγονότων· καὶ γενησομένων αἰώνων· κληρονομία δὲ χριστοῦ ἐστίν, ἡ γνῶσις ἡ τοῦ θεοῦ:

Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί:

Σὺ εἶ ἀποκαθιστῶν: — Οὐκ εἶπεν διδούς. ἀλλ' ἀποκαθιστῶν· ἐπειδὴ καὶ πρὸ τῆς παραβάσεως ὁ ἄνθρωπος καὶ ζωὴν εἶχεν ἀθάνατον καὶ ἐξουσίαν. μετὰ δὲ τὴν παράβασιν ἀμφοτέρων ἐξέπεσεν:

Σχοινία ἐπέπεσέν μοι ἐν τοῖς κρατίστοις μου· καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστιν: — Σύμμαχος· σχοινίσματα ἐνέπεσόν μοι ἐν τοῖς καλλίστοις: — ἀκύλας· σχοινία ἐπέπεσόν μοι ἐν τοῖς εὐπρεπέσιν:

Σχοινία ἐπέπε: — Τοὺς δεσμοὺς τῆς ἀγάπης φησίν, οὓς ἔσχεν πρὸς τὴν ἐκκλησίαν· ἥτις κρατίστη ἐστὶν καὶ ἀρέσκουσα αὐτῷ: — Εἰ τὸ σχοινίον μέτρον ἐστίν· πῶς γέγραπται ἐν τῷ κατὰ ἰωάννην εὐαγγελίωι τό· οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ θεὸς τὸ πνεῦμα· καὶ τό· ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου. ἢ τάχα τὸ μέτρον, οὐ πρὸς τὴν γνῶσιν αὐτὴν ὀνομάζεται, ἀλλ' ὡς πρὸς τὸν ὑποδεχόμενον αὐτὴν τῶι μὴ εἶναι αὐτὸν μείζονος γνώσεως δεκτικόν· καὶ γὰρ αὐτὸς ὁ ὑετὸς ἀμέτρητος μέν ἐστι· μετρεῖται δὲ ἐν τοῖς ὑποδεχομένοις αὐτὸν ἀγγείοις:

Καὶ γὰρ ἡ κληρονομία: — Ταύτης φησὶν ἕνεκα τῆς καλλίστης κληρονομίας καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας χάριν· τὰς παρὰ σοῦ ἐπιβουλὰς ὑπομένω· σχοινία γὰρ τὰς ἐπιβουλάς φησι κατὰ θεοδώριτον· ὡς τό· σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι:

Εὐλογήσω τὸν κύριον τὸν συνετίσαντά με· ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου:

Εὐλογήσω τὸν κύριον: — Ἀλλ' ὅμως φησὶ καὶ τοῖς ἀρίστοις χρώμενος λογισμοῖς· καὶ ὑπὸ τοῦ κυρίου σοφιζόμενος, τῆς τοῦ πάθους νυκτὸς περιέσομαι: νύκτα γὰρ τὸ ζοφῶδες καλεῖ τῶν πειρασμῶν:

Προορώμην τὸν κύριον ἐνώπιόν μȣ διαπαντὸς· ὅτι ἐκ δεξιῶν μȣ ἐστιν ἵνα μὴ σαλευθῶ:

Ο'τι ἐκ δεξιῶν: — Ταῦτα περιττὸν ϗ ἡμᾶς ἑρμηνεύειν, τȣ̃ θεσπεσίȣ πέτρȣ πάλαι τὴν τȣ́των ἑρμηνείαν ποιησαμένȣ· ἐν οἷς λέγει· (Act. II. 29, et seqq.) ἄνδρες ἀδελφοί· ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ τȣ̃ πατριάρχȣ Δαυὶδ ὅτι ἐτελεύτησεν ϗ ἐτάφη· ϗ τὸ μνῆμα αὐτȣ̃ ἔστιν ἐν ἡμῖν ἄχρι τῆς σήμερον· προφήτης ȣ̃ν ὑπάρχων ϗ προϊδὼν τὰ περὶ τῆς ἀναστάσεως τȣ̃ χριστȣ̃ ἐλάλησεν· ὅτι ȣ̓κ ἐγκατελείφθη εἰς ἅιδȣ ἡ ψυχὴ αὐτȣ̃· ȣ̓δὲ ἡ σὰρξ αὐτȣ̃ εἶδεν διαφθοράν. λέγει τοίνυν ὁ δεσπότης χριστὸς ἀνθρωπίνως ἐνταῦθα· ὅτι διηνεκῶς ὑπὸ τῆς θείας στηριζόμενος φύσεως· τῶι σωτηρίωι πρόσειμι πάθει ϗ τῆι ἐλπίδι τῆς ἀναστάσεως ἐπευφραίνομαι· ȣ̓́τε γὰρ ἡ ψυχή μȣ εἰς ἅιδȣ καταληφθήσεται, ȣ̓́τε ἡ σάρξ μȣ ὑπομενεῖ τὴν κατὰ φύσιν διαφθοράν· ταχείας γὰρ τῆς ἀναστάσεως τεύξομαι· ϗ εἰς τὴν ζωὴν ἐπανήξω:

Διὰ τȣ̃το εὐφράνθη ἡ καρδία μȣ· καὶ ἠγαλλιάσατο ἡ γλῶσσα μȣ:

Διὰ τȣ̃το εὐφράνθη ἡ καρδία μȣ: — Α'ντὶ τȣ̃· ὁ νȣ̃ς μȣ· ἔθος γὰρ τῆι θείαι γραφῆι ἀντὶ νȣ̃ τὴν καρδίαν λαμβάνειν κατὰ τὸ ὑπὸ τȣ̃ ἀποστόλȣ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην· στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. νȣ̃ς δέ ἐστιν ὁ πιστεύων· ὅστις ϗ ῥήματα διακρίνει κατὰ τὸν ἰώβ:

Ε'̓τι δὲ καὶ ἡ σάρξ μȣ κατασκηνώσει ἐπ' ἐλπίδι:

Ε'̓τι δὲ καὶ ἡ σάρξ μȣ κατα: — Α'ντὶ τȣ̃ ἐμψύχωσίς μȣ· τȣ̃το γὰρ ϗ ὁ ἰὼβ φησί· σάρκα με ϗ κρέας ἐνέδυσας:

Ο'̓τι ȣ̓κ ἐγκαταλείψεις τὴν ψυχήν μȣ εἰς ἅιδȣ· ȣ̓δὲ δώσεις τὸν ὅσιόν σȣ ἰδεῖν διαφθοράν:

Οὐδὲ δώσεις τὸν ὅσιόν σȣ: — Τȣ̃το πέτρος ἐν ταῖς πράξεσι τῶν ἀποςόλων· ἐπὶ τȣ̃ σωτῆρος ἡμῶν λαμβάνει. ζητήσαις δὲ εἰ ὅλον τὸν ψαλμὸν ἐφαρμόσαι δεῖ τῶ χριςῶι· διὰ τό· ἔτι δὲ ϗ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μȣ. ϗ διὰ τό· σχοινία ἐπέπεσόν μοι ϗ ἑξῆς:

Ε'γνώρισάς μοι ὁδȣ̀ς ζωῆς· πληρώσεις με εὐφροσύνης μετὰ τȣ̃ προσώπȣ σȣ· τερπνότητες ἐν τῆι δεξιᾷ σȣ εἰς τέλος:

Ε'γνώρισάς μοι ὁδȣ̀ς: — Ε'πειδὴ τῷ πάθει προσιὼν ἔλεγεν· περίλυπός ἐςιν ἡ ψυχή μȣ ἕως θανάτȣ, εἰκότως τȣ́τοις ἐχρήσατο τοῖς λόγοις, τῆς ἀναςάσεως μνημονεύσας· διδάσκων ὡς ἀπαθὴς ϗ ἄτρεπτος ὤν· ἀντὶ τῆς ἀθυμίας ἐκείνης· ἐν διηνεκεῖ θυμηδίᾳ γενήσεται:

XXIII. En alterum specimen ex fol. 80. *b*, ubi incipit explicatio psalmi 80.

π. Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν ψαλμὸς τῷ ἀσάφ:

Υ'πόθεσις εὐσεβίȣ: — Τρεῖς οἱ ἐπιγεγραμμένοι ὑπὲρ τῶν ληνῶν· τȣ̃ δαυὶδ, ὁ η̅· τῶν υἱῶν κορέ, ὁ π̅ε̅. τȣ̃ ἀσάφ, ὁ μετὰ χεῖρας· ὃς ἑτέρȣς μὲν ἀγαλλιᾶν ϗ ἀλαλάζειν ϗ ψάλλειν παρακελεύεται· τȣ̃ δὲ ἰȣδαίων ἔθνȣς τὴν ἀποβολὴν ϗ τὴν αἰτίαν τῆς ἀποπτώσεως αὐτῶν παρί-

παρίςησιν· σφόδρα ἀκολέθως λέγων τῆς διὰ τῶν ἔμπροσθεν προφητείας· ἐπειδὴ γὰρ ἐν τῷ πρὸ τέτε ἠρώτα λέγων· ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς· ἐπιλύεται νῦν τὴν ἐπαπόρησιν λέγων· εἰ ὁ λαός με ἤκεσεν ϗ τὰ ἑξῆς. ϗ ἐπιλέγει· ἐκ ἤκεσεν ὁ λαός με τῆς φωνῆς με:

Α'γαλλιᾶσθε τῶι θεῶι ἰακώβ: — Ε'πινίκιος ὠιδὴ ὁ ἀλαλαγμός· παρακελεύονται τοίνυν ἀλλήλοις τῶι τὴν νίκην δωρησαμένωι θεῶι τὴν ὑμνωιδίαν ὑφῆναι:

Λάβετε ψαλμὸν ϗ δό: — Ω'ριγένες: — Προςάττει δέχεσθαι μὲν ἀκοαῖς τὴν θείων λόγων διδασκαλίαν· διδόναι δὲ, τὴν διὰ τε σώματος πρᾶξιν: — Α'́λλως: — Λάβετε διδασκαλίαν πνευματικὴν, ϗ δότε νέκρωσιν μελῶν τῶν ἐπὶ γῆς:

Λάβετε ψαλμόν: — Θεοδωτίε: — Διαφόροις ὀργάνοις κεχρημένοι, τὴν θείαν ἀνεκρέοντο μελωιδίαν· παρεγγυᾶι τοίνυν τοῖς χοροῖς ἐκείνοις ὁ λόγος, ἀλλήλοις ἀντιδε͂ναι τὴν παναρμόνιον τῶν ὀργάνων ἠχὴν· ϗ τέτες μὲν λύραις· ἐκείνες δὲ τυμπάνοις· ἄλλες δὲ κιθάραις τὸν θεὸν ἀνυμνῆσαι:

Σαλπίσατε ἐν νεομηνίαι σάλπ: — Ταῖς σάλπιγξιν ἐκέλευσεν ὁ θεὸς τὲς ἱερέας κεχρῆσθαι· ἀνεμίμνησκον δὲ αὗται τὸν λαὸν, τῶν ἐν τῶι ὄρει γενομένων σαλπίγγων· τε͂ θεε͂ γὰρ ἐν τῶι σινᾶι ὄρει διαλεγομένε, ἡ φωνή φησι τῆς σάλπιγγος ἤχει μέγα. ἐκείνης τοίνυν τῆς ἐπιφανείας ἀνεμίμνησκον τὸν λαὸν οἱ ἱερεῖς κεχρημένοι· ϗ ἔτοι τοίνυν τὲς τῆς ἐπανόδε τετυχηκότας· ϗ τῆς θείας ἐπικερίας ἀπολαύσαντας, εἰκότως μετὰ τῶν ἄλλων ὀργάνων ϗ ταῖς σάλπιγξι παρακελεύονται χρήσασθαι: — Εὐσεβίε: — Μαρτύριον ἐν τῶι ἰωσήφ: — Ι'ωσὴφ ἐνταῦθα, πάντα καλεῖ τὸν λαὸν· ἐπειδὴ γὰρ τῆς εἰς αἴγυπτον εἰσόδε ὁ ἰωσὴφ αὐτοῖς ἐγένετο πρόξενος· ἐξ αὐτε͂ τὸν λαὸν προσηγόρευσεν. λέγει δὲ· ὅτι ταύτην ἔδωκεν τῶι λαῶι τὴν νομοθεσίαν τῆς αἰγύπτε τε͂τον ἐλευθερώσας· εἶτα τὰς γεγενημένας ἐλευθερίας διέξεισι: — Α'θανασίε: — Γλῶσσαν ἣν ἐκ ἔγνω ἤκεσεν: — ποίαν γλῶσσαν· ἀλλ' ἢ τὴν διὰ τὸν λαὸν ἐν τῶι ὄρει τε͂ θεε͂ γενομένην φωνήν: — Θεοδωρήτε: — Φωνῆς γὰρ πώποτε θείας ἐκ ἀπολαύσας· ταύτης ἐπήκεσεν ἐν τῆι ἐρήμωι τὸν νόμον δεχόμενος: — etc.

X X I V.

Codex membraneus, in 12, *constans foliis, seu chartis* 215, *scriptus a Bartholomæo Monacho seculo X, vel XI, et magni faciendus, cum opus ineditum contineat, quamvis emendate exaratus non sit: nam ex. gr. pro* δώσει ἐν καιρῷ, *ibi scriptum est* δόσει ἐν κερῷ. *Singulæ cujusque vocis syllabæ abbreviatæ sunt, seu per nexus litterarum scriptæ. Quum vero prima codicis pagina jam evane-*

evanescere cœperit, ac vix litterarum vestigia jam supersint, idcirco eam hic exscribere non piguit, fideliter quidem, sed demptis mendis.

Continet Hesychii scholia in psalmos: de quo opere legenda sunt, quæ scribit Fabricius Bibliothecæ Græcæ volum. *6.* pag. 244. In duobus prioribus foliis nihil est scriptum. Fol. 3. *a.* Titulus: *ἡσυχίȣ πρεσβυτέρȣ ἱεροσολύμων εἰς τὴν ἑρμήνειαν τȣ̃ ψαλτηρίȣ*: — Initium: Μακάριος ἀνὴρ ὃς ȣ̓κ ἐπορεύθη, ἐν βȣλῇ ἀσεβῶν: — ἔστιν μὲν ȣ̓̃ν ὁ μακαρισμὸς, ὁ τȣ̃ θεȣ̃ θέλημα ἐν ἀληθείᾳ πράττων· ἀσεβεῖς δὲ εἰσὶ πάντες οἱ ἀγνοȣ̃ντες θεόν: — Καὶ ἐν ὁδῷ ἁμαρτωλῶν ȣ̓κ ἔστη: — Ἁμαρτωλȣ̀ς φησιν ἡ γραφὴ τȣ̀ς ὑποκληθέντας μὲν τῇ πίστει· παραβάντας δὲ τὰς τȣ̃ θεȣ̃ ἐντολάς: — ϗ ἐπὶ καθέδρᾳ λοιμῶν ȣ̓κ ἐκάθησεν: — Ἡ μὲν προφητεία πληρȣ̃ται εἰς τὸν ἰωσὴφ, τὸν ἀπὸ ἀριμαθαίον (sic) ὃς συμπαρεγένετο τοῖς ἰȣδαίοις, ἡνίκα κατὰ τȣ̃ χριστȣ̃ ἐμελέτȣν κενά· ὁμȣ̃ (a) δὲ ἅπαντα ἄνθρωπον μακαρίζει τὸν μὴ συνεδριάζοντα μηδὲ συγκοινωνȣ̃ντα τοῖς κακῶς βȣλευομένοις ἔν τινι: — Ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίȣ τὸ θέλημα αὐτȣ̃: — ἀλλ' ἅπας (b) τὶς ὁ δοκιμάζων τὸ εὐχρεστον τȣ̃ θεȣ̃ ϗ τȣ́τῳ προϊών (c): — Καὶ ἐν τῷ νόμῳ αὐτȣ̃ μελετήσει ἡμέρας ϗ νυκτὸς· καὶ ἔσται ὡς ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδȣς τῶν ὑδάτων: — Ὁ ἡμέρας τὲ καὶ νυκτὸς ἐν τῷ νόμῳ τȣ̃ θεȣ̃ (d) μελετῶν τὰ θεῖα· ὡς δένδρον (e). ὁ τῶν καθ' ἑκάστην πιαινόμενος ὑπὸ τῆς πηγῆς τȣ̃ νοητȣ̃ παραδείσȣ. ὁ τοιȣ̃τος τοίνυν ἄνθρωπος δώσει τὸν καρπὸν τῷ κυρίῳ· ὡς γὰρ τὰ ξύλα τὰ ἑστῶτα παρὰ τοῖς ὕδασι ἀεὶ θάλλȣσιν· ȣ̓́τως ἀρδευόμενος τῇ τῆς θείας γραφῆς μελέτῃ ἀναθάλλει τὸν νȣ̃ν· ϗ ὑγιῆ τὴν διάνοιαν κέκτηται· ξύλον ȣ̓̃ν λέγει τὸν σταυρὸν, ὕδωρ τὴν κολυμβήθραν· ἐν ᾗ φωτίζεται πᾶς ὁ βαπτιζόμενος (f): — Ὃ τὸν καρπὸν αὐτȣ̃ δώσει ἐν καιρῷ αὐτȣ̃: — ἡνίκα παραγένηται ὁ κύριος ἐν τῇ δευτέρᾳ παρȣσίᾳ, δώσει ὥριμον τὸν καρπὸν· ἤγȣν τὴν πίστιν τὴν ὀρθήν: — Καὶ τὸ φύλλον αὐτȣ̃ ȣ̓κ ἀποῤῥυήσεται: — Καὶ ἡ εὐπρέπεια τῆς ψυχῆς αὐτȣ̃ ȣ̓κ ἐκπεσεῖται: — Καὶ πάντα ὅσα ἂν ποιεῖ, κατευοδοθήσεται: — Τοῖς γὰρ τὰ τȣ̃ θεȣ̃ ποιȣ̃σι κατευοδȣ̃νται ὑπ' αὐτȣ̃: — ȣ̓χ ȣ̓́τως οἱ ἀσεβεῖς ȣ̓χ ȣ̓́τως: — Τιμηθήσονται: — Ἀλλ' ἢ ὡσεὶ ὁ χνȣ̃ς (in margine κονιορτὸς) ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπȣ τῆς γῆς: — ἐρεῖ γὰρ αὐτοῖς ὁ κύριος· πορεύεσθε ἀπ' ἐμȣ̃ οἱ κατηραμένοι (g): — Διὰ τȣ̃το ȣ̓κ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει: — ȣ̓ προσ-

---

Variæ lectiones ex codice XXXI. (a) Cod. ὅμως. (b) Cod. ἀλλ' ἢ πάς τις. (c) Cod. καὶ τȣ̃το ποιῶν. (d) Cod. addit ἀεὶ. (e) Cod. ὡς δένδρόν ἐστι τὸ καθ' ἑκάστην πιαινόμενον ὑπὸ. (f) Cod. addit: καὶ ἀναθάλλει (g) Cod. addit: εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτȣ̃.

ȣ προσέλθωσιν εἰς ἐπερώτησιν τȣ̃ κυρίȣ: — Οὐδὲ ἁμαρτωλοὶ ἐν βȣλῇ δικαίων: — ἐν τῇ συναγωγῇ τῶν δικαίων λέγει· ἀφορίζει γὰρ (a) αὐτȣ̀ς, ὡς φησὶν, ἀπ' ἀλλήλων: — Ὅτι γινώσκει κύριος ὁδὸν δικαίων: — Αἱ γὰρ πράξεις αὐτῶν ἐν αἷς περιεπάτȣν ὀρθαὶ εἰσιν εἰς Θεόν: — Καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται: — Τὰ γὰρ ἐπιτηδεύματα τȣ̃ διαβόλȣ μετὰ τὴν ἀνάστασιν ȣ̓κ ἔτι ἔσονται: — Heic absolvitur interpretatio primi Psalmi: deinde statim pergit Hesychius ad interpretationem secundi, et ceterorum usque ad 150. eadem methodo. Concluditur hoc opus folio postremo, nempe 215, sic: πᾶσα ȣ̃ν πνοὴ ἡ δοθεῖσα ϗ γενομένη εἰς ψυχὴν ζῶσαν ἀνθρώποις· αἰνεσάτωσαν τὸν κύριον· τὸν ἐξ ȣ̓κ ὄντων εἰς τὸ εἶναι αὐτὴν παραγαγόντα: — Tum additur a librario: Δόξα τῷ ἐνισχύσαντι καὶ συγκρατήσαντι ἡμῶν τὴν ἀσθένειαν· τῷ διδασκάλῳ· καθηγητῇ πατρὶ ϗ δεσπότῃ κυρίῳ ἡμῶν ἰησȣ̃ χριστῷ τὸν οἰκονομȣ̃ντα (sic) τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων: — Βαρθωλομαῖος μοναχὸς ϗ ξένος ὁ γράψας ταύτην εὔχεται τȣ́τοις, ὅσοι χριστȣ̃ τῷ νόμῳ πειθόμενοι: — idest: *Gloria ei qui vim dedit, et nostram infirmitatem tuitus est, magistro, præceptori, patri, et domino, Domino nostro Jesu Christo, a quo est salus generi humano. Bartholomæus monachus, et hospes, qui exscripsit, hanc (salutem) precatur his omnibus, qui Christi legi obediunt.*

X X V.

Codex magni faciendus, membraneus, in duodecimo, sed forma quadrata, constans foliis 214, quorum tamen priora quinque chartacea nudius tertius adjecta sunt, alia vero quatuor subsequentia membranea ad codicem quidem spectant, sed non sunt exarata. Scriptus est seculo XI, ut opinor, aut ad summum X, charactere valde minuto. Litteræ omnes initiales aureæ sunt, itemque omnes tituli aureis litteris in singulis foliis scripti. Mutilus est in fine, et initio, nempe post folium, quod nunc signatum est num. 11. et post folium 12. desunt aliquot folia.

I. Folium signatum nunc num. 10, signandum erat num. 1. Est enim revera primum. In eo incipiebant olim quidam circuli minio, et auro ornati et scripti, qui pergunt usque ad folium 12: sed nunc ex folio 10. erasæ sunt litteræ aureæ, quarum nonnulla duntaxat supersunt vestigia. Primus ex hisce circulis,

(a) Cod. ἀφορίζει γὰρ τȣ̀ς δικαίȣς ἀπὸ τῶν ἁμαρτωλῶν· ὥσπερ ὁ ποιμὴν ἀφοριεῖ ἀπὸ τῶν ἐρίφων τὰ πρόβατα.

culis, cujus litteræ deletæ non sunt, fol. 11. *a.* hæc habet: ἔτος ͵ςφϟα ἰνδ. ϛ κύκλ. ☉. ια κύκλ. ☽. ιζ. ἡ ἀποκρ. φεβρουαρ. ιβ. νομικὸν πάσχα ἀπριλλίῳ ε. ἡμ. δ χρ. πάσχα ἀπριλλίῳ θ. idest: *Annus 6591, indictio 6, cyclus Solis XI, cyclus Lunæ 17, carnisprivium Februarii die 12, legale Pascha mense Aprilis die 5, feria quarta, Christianorum Pascha Aprili mense die 9.* Porro annus 6591. a creatione mundi respondet anno Christi 1084. Sequuntur undecim aliæ similes tabulæ circulis inclusæ, nim fol 11. pro anno mundi 6592, et ceteris usque ad annum 6598: tum fol. 12. pro anno 6615, et ceteris usque ad 6618: nam inter folium 11, et folium 12. desunt aliqua folia. Ex hisce tabellis apparet codicem scriptum esse ante annum Christi 1084: earum enim tabellarum usus erat non pro annis præteritis, sed pro futuris.

II. Fol. 13. *a.* Deest initium Homiliæ S. Joanni Chrysostomo tributæ in inscriptiones Psalmorum, quam inter spuria edidit Montfauconius. Prima quæ supersunt modo verba, sunt hæc: Ἀλλ' ἔστιν ἀνταπόδοσις· ὅτι σὺ ἀποδώσεις φησὶν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Absolvitur hæc homilia fol. 21. *a* his verbis: καὶ τὴν τῶν οὐρανῶν βασιλείαν παρέξει ἡμῖν· ἧς καὶ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν· χάριτι καὶ φιλανθρωπίᾳ αὐτοῦ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν ἰησοῦ χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν:

III. Fol. 21. *b.* Tit. Ὑπόθεσις εὐσεβίου τοῦ παμφίλου εἰς τοὺς ψαλμούς: ✝ Idest: *Argumentum Eusebii Pamphili in Psalmos.* Incipit: Τῆς βίβλου τῶν ψαλμῶν. Absolvuntur fol. 28. *a.* hæc argumenta omnium 150. psalmorum, et quatuordecim canticorum, nempe 1, et 2. Mosis, 3. Annæ, 4. Abacuc, 5. Isaiæ, 6. Jonæ, 7. Trium puerorum *orationis*, et 8. *Laudis*, et 9. *hymni*, 10. B. Mariæ Virginis, 11. Zachariæ patris S. Joannis Baptistæ, 12. Ezechiæ, 13. orationis Manassis, et postremo Symeonis senis. Hæc argumenta edita sunt a Montfauconio.

IV. Fol. 28. *b.* Tit. ✝ Ὑπόθεσις εὐσεβίου εἰς τὸ διάψαλμα, i. e. *Argumentum Eusebii in Diapsalma.* Incipit: Πολλάκις ζητήσας. Absolvitur fol. 29. *a.*

V. Fol. 29. *b.* Sequuntur duo Epigrammata in Davidem versibus iambis senariis, litteris aureis uncialibus exarata, incerti auctoris: quorum primum incipit: ✝ Ἄκουε Δαυὶδ τοῦ παρ' ἡμῖν ὀρφέως: alterum vero incipit: ✝ Τοῦ πνεύματος τὰ θεῖα τόξα καὶ βέλη.

VI. Post fol. 30. deest folium, itaque deest Psalmus primus, et initium secundi. Prima verba folii 31. sunt: Ὁ κατοικῶν

κῶν ἐν ὀυρανοῖς: tum sequuntur omnes 150. psalmi cum argumentis Eusebii, quæ hic iterum scribuntur, et suum cuique psalmo præponitur. Sic ad psalmum 3. fol. 31. *b.* in margine apponitur hoc argumentum: γ: — Προφητεία γενησομένων ἀγαθῶν τῷ δαυὶδ: i e. *Prophetia bonorum quæ eventura erant Davidi*. Et ita de ceteris psalmis. Singuli porro isti in brevissimos versiculos divisi sunt. Affero exemplum ex psalmo ipso tertio. Ejus titulus est: ψαλμὸς τῷ δαυὶδ ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπȣ ἀβεσαλὼμ τȣ̃ ὑȣ̃ αὐτȣ̃. Psalmus vero ita scriptus est:

Vers. 1. Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με: ∽
Vers. 2. Πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ: ∽
Vers. 3. Πολλοὶ λέγȣσι τῆι ψυχῆι μȣ: ∽
Vers. 4. Οὐκ ἔστι σωτηρία αὐτῶι ἐν τῶι θεῶι αὐτȣ̃: ∽
Vers. 5. Σὺ δὲ κύριε ἀντιλήπτωρ μȣ εἶ: ∽
Vers. 6. Δόξα μȣ, καὶ ὑψῶν τὴν κεφαλήν μȣ: ∽

etc. Hic tertius psalmus divisus est in sexdecim versiculos. Simili ratione alii omnes psalmi, et 14. cantica divisa sunt. Absolvuntur psalmi fol. 210. *a*, ac post psalmum 150. adduntur hæc verba: Δόξα ξ̄: — Κάθισμα κ̄: — στίχοι νζ̄, idest: *Gloria sexagesima, et Sessio vigesima. Versiculi quinquaginta septem*. Nimirum totum psalterium dividitur in sexaginta δόξας, seu *glorias*: et in viginti Καθίσματα. Singulæ vero δόξαι in στίχȣς, seu versiculos. Sic in fine psalmi tertii scribitur: Δόξα ᾱ· στίχοι νη̄, i. e. *Gloria prima: versiculi* 58. Et post psalmum sextum: δόξα β̄· στίχοι ξδ̄. Post psalmum octavum: δόξα γ̄· κάθισμα ᾱ· στίχοι νδ̄, i. e. *Gloria III, Sessio I, versiculi* 54. Post psalmum 10. scribitur: δόξα δ̄. Post psalmum 16. scribitur: δόξα ς̄· κάθισμα β̄· στίχοι ξη̄. Et ita deinceps.

VII. Fol. 210. *a.* Sequitur psalmus apocryphus 151, incipiens: μικρὸς ἤμην.

VIII. Fol. 211. *a.* Incipiunt cantica, quæ dixi Tit. + Ὠιδὴ μωυσέως ἐν τῆι ἐξόδωι +. Deest finis secundi cantici Mosis, ac cetera omnia cantica. Postrema codicis verba sunt: Νεανίσκος σὺν παρθένωι θηλάζων μετά.

XXVI.

Codex membraneus, in folio magno, scriptus seculo XI, constans modo membranis 345, sed mutilus initio, et in fine: initio quidem desunt quadraginta membranæ: nam prima quæ superest, signa-

signata olim fuit numero μα : *Postrema autem numero* νε. *Pagina* 215. (*olim* σπα) *in margine adjecta est recentiore manu hæc Nota :* μηνὶ σεπτεβρίῳ κδ τῆ τῆς ἁγίας ϗ ἰσαποστόλης θέκλας· ἔτȣς ͵ϛχπθ (idest Christi anno 1181.) ἐτελεύτησεν ὁ βασιλεὺς κυρὸς μανȣὴλ ὁ κομνηνὸς ὁ διὰ τȣ͂ θείȣ ϗ ἀγγελικȣ͂ σχήματος· ματθαίȣ μετονομασθέντος :

I. Initio occurrunt Quæstiones Theodoreti in Octateuchum. Paginæ μα, quæ nudius tertius signata fuit numero 3, prima verba sunt hæc: προσηγορίαν· τινὲς δὲ, τὸ ὁμωμοκότα ψεύσασθαι· ἐγὼ δὲ οἶμαι etc. Tum paulo post, linea nempe 8, incipit quæstio 42. in Exodum, et aliæ deinceps. Pag 9 (olim μζ) Tit. + Κεφάλαια τȣ͂ λευιτικȣ͂ λη : — Tum alter titulus: α. Τίνος ἕνεκεν τὰς θυσίας προσέταξε προσφέρεσθαι ὁ θεος : — Initium : Πολλαχȣ͂ μὲν εἴρηται. Absolvuntur pag. 21. (ol. νθ) sic : τέλος τῶν κεφαλαίων τῶν εἰς τὸ λευιτικὸν ἀπόρων. Tum sequitur Tit. Εἰς τȣ̀ς ἀριθμȣ̀ς κεφάλαια νβ : — Pag. 32. (ol. ο) : κεφάλαια εἰς τὸ δευτερονόμιον, μϛ. Pag. 43. (ol. πγ) : κεφάλαια εἰς τὸν ἰησȣ͂ν τȣ͂ ναυῆ, κα : — Pag. 49. (ol. πϛ) : Εἰς τȣ̀ς κριτὰς κεφάλαια, κη : — Pag. 57. (ol. ϙζ) : εἰς τὴν ῥȣ̀θ κεφάλαια β :

II. Pag. 59. (olim ϙθ) Tit. Τȣ͂ αὐτȣ͂ εἰς τὴν πρώτην τῶν βασιλειῶν. κεφάλαια ξϛ : + Initium : Ἐπειδὴ τῆς θείας χάριτος. Pag. 72. (ol. ριβ) : Τȣ͂ αὐτȣ͂ εἰς τὴν δευτέραν τῶν βασιλειῶν. Pag. 75. (ol. ριγ) : Τȣ͂ αὐτȣ͂ εἰς τὴν γ τῶν βασιλειῶν. Pag. 86. (ol. ρλδ) : Τȣ͂ αὐτȣ͂ εἰς τὴν δ τῶν βασιλειῶν.

III. Pag 92. (ol. ρμ) Tit. Τȣ͂ αὐτȣ͂ εἰς τὴν α τῶν παραλειπομένων. Initium : Τῆς βίβλȣ τῶν παραλειπομένων τὴν ὑπόθεσιν. Pag. 95. (ol. ρμγ) : τȣ͂ αὐτȣ͂ εἰς τὴν β βίβλον τῶν παραλειπομένων. In fine : + ἐπληρώθη σὺν θεῷ ἡ πᾶσα πραγματεία θεοδωρήτȣ ἐπισκόπȣ κύρȣ εἰς τὰ ἄπορα τῆς θείας γραφῆς, τῆς τε ὀκτατεύχȣ, ϗ τῶν τεσσάρων βασιλειῶν, ϗ τῶν παραλειπομένων :

IV. Pag. 101. (ol. ρνγ) Tit. θεοδωρήτȣ ἐπισκόπȣ κύρȣ· πρόλογος πρὸς ἰȣδαίȣς τολμῶντας λέγειν μὴ εἶναι προφήτην τὸν μακάριον δανιὴλ· ἔχει δὲ ϗ προθεωρίαν τῆς προφητείας. Initium : Εἰ πᾶσι ῥᾴδιον ἦν.

V. Pag. 176. (ol. σμα) Tit. + ὑπόθεσις τȣ͂ προφήτȣ Ἰωήλ. Post commentarium Theodoreti in Joelem sequuntur ejusdem commentarii in Abdiam, Michæam, Nahum, Sophoniam, et Aggæum.

VI.

VI. Pag. 215. (ol. σπα) Tit. + Τȣ̃ ἐν ἁγίοις πατρὸς ἡμῶν βασιλείȣ ἀρχιεπισκόπȣ καισαρείας καππαδοκίας, ἑρμηνεία εἰς τὸν προφήτην ἠσαΐαν. Initium: Εὔξασθε μὴ γενέσθαι τὴν φυγὴν ὑμῶν. Mutilum est hoc opus: nam post paginam ultimam desunt reliquæ membranæ. Vide Codicem XXXV.

XXVII.

Codex membraneus, in folio, constans foliis 303. Singulæ paginæ duas habent columnas. Est integer, sed mendose scriptus seculo XII. In ultima pagina hæc leguntur vetusta manu exarata + φύλλατε χριστὲ τῷ πόθωκτησμμένω. Δουλὶ μεγάλω· κωνσταντίνω τῶ ὤπω: +. *Fol. 6.* a. *in margine inferiori hæc leguntur*: 1700. Ἀπριλίȣ 20. μακάριος ἱερομόναχος ἡγȣ́μενος στροφάδων.

I. Tribus prioribus foliis continetur Index, hoc titulo: Τάδε ἔνεστι ἐν τῇδε τῇ βίβλῳ τȣ̃ κατὰ ματθαῖον εὐαγγελίȣ ἑρμηνία (sic) τȣ̃ χρυσοστόμȣ:

II. Fol. 4. *a.* Titulus: Τȣ̃ ἐν ἁγίοις πατρὸς ἡμῶν ἰωάννȣ τȣ̃ χρυσοστόμȣ ἑρμηνία εἰς τὸ κατὰ ματθαῖον εὐαγγέλον: + Incipit Εὐαγγέλιον ἡ παροῦσα βίβλος λέγεται· ὅτι κολάσεως ἀναίρεσιν etc. Absolvitur fol. 111. *b.* sic: Καθάπερ τοῖς καταδίκοις· διὰ τȣ̃το ȣ̃ν ἀγωνισώμεθα· τῶν αἰωνίων ἀπολαύσαι ἀγαθῶν χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπία· τȣ̃ πατρὸς....... ᾧ ἡ δόξα.... τῶν αἰώνων ἀμήν: — Tum additur: + ἐπληρώθη τȣ̃ χρυσοστόμȣ· ἡ εἰς τὸ κατὰ ματθαῖον (sic) εὐαγγέλιον ἑρμηνία: — Vide Bandinium tom. 1. Catalogi Codicum græc. Biblioth. Laurentianæ pag 354, et 386.

III. Fol. 111. *b.* col. 1. Titulus: + Εὐσεβίȣ τȣ̃ παμφίλȣ. In margine: τῶ μεγάλω Σαββάτω. Incipit sic: Πῶς παρὰ μὲν τῶ ματθαίω· ὀψὲ σαββάτων· φαίνεται ἐγηγερμένος ὁ σωτήρ· παρὰ δε τῶ μάρκω etc. Absolvitur fol. 112. *b.* sic: διὸ καὶ παρὰ τοῖς πᾶσιν ἐμνημονεύθη:

IV. Fol. 112. *b.* col. 2. Titulus: + Τȣ̃ ἐν ἁγίοις ἰσιδώρȣ τȣ̃ πηλȣσιώτȣ περὶ τῆς τȣ̃ σωτηρίȣ (sic) ἡμῶν ἀναστάσεως· θεογνώστω πρεσβυτέρω: — Incipit: λίαν θαυμάζω καὶ ἐκπλήττομαι· τὴν ἄνοιαν τῶν ζητȣ́ντων etc. Absolvitur fol 113. *b.* sic: οἱ τὴν ἀλήθειαν μὴ ἡ λυθευκέναι (sic) διισχυριζόμενοι:

V. Fol. 113. *b.* col. 2. Titulus: + Τȣ̃ αὐτȣ̃ περὶ τῶν τριῶν ἡμερονυκτίων· τῆς ταφῆς τȣ̃ κυρίȣ, τιμοθέου (sic) ἀναγνώστη: —

Incipit: Τῶν τριῶν τῆς ταφῆς etc. Absolvitur fol. 114. *a*. col. 2. sic: *προσκυνηθήσεται*:

VI. Fol. 114. *a*. col. 2. Titulus: ✝ *Εὐσεβίȣ τȣ̃ παμφίλȣ*: — Incipit: *Πῶς παρὰ μὲν τῷ ματθαίῳ· ἡ μαγδαλινὴ* (sic) *μαρία* etc. Absolvitur fol. 115. *b*. col. 2. sic: *οἱ εἴσω τȣ̃ μνήματος*:

VII. Fol. 116. *a*. col. 1. Titulus: ✝ *Τȣ̃ ἐν ἁγίοις πατρὸς ἡμῶν ἰωάννȣ ἀρχιεπισκόπου κωνσταντινȣπόλεως, τȣ̃ χρυσοστόμȣ· ἑρμινία* (sic) *εἰς τὸ κατὰ ἰωάννην εὐαγγέλιον*: — Incipit: *Τίνος ἕνεκεν* (sic) *τῶν ἄλλων εὐαγγελιστῶν* etc. Absolvitur folio 183. *b*. col. 1. sic: *ἵνα ...... καὶ διὰ τῆς τῶν ἀγαθῶν ἐργασίας· τελειωθέντες· ἐπὶ τύχωμεν* (sic) *τῶν αἰωνίων ἀγαθῶν· χάριτι καὶ φιλανθρωπίᾳ τȣ̃ κυρίȣ .... τῶν αἰώνων ἀμήν*: — Vide Bandinium tom. 1. pag. 378.

VIII. Fol. 184. *a*. col. 1. Titulus: ✝ Τȣ̃ *ἐν ἁγίοις πατρὸς ἡμῶν ἰωάννȣ τȣ̃ χρυσοστόμȣ· ἑρμηνία· εἰς τὸ κατὰ λουκὰν ἅγιον εὐαγγέλιον*. Incipit: *Ἰστέον· ὅτι τȣ̀ς μὲν ἄλλȣς εὐαγγελιστὰς· ἐξ αὐτῶν ἀρχομένȣς ἔστιν ἰδεῖν τῶν πραγμάτων* etc. Absolvitur fol. 217. *b*. col. 2. sic: *ἐπὶ τὸ* (sic) *κρίναι ζῶντας καὶ νεκρȣ̀ς· καὶ ἀποδȣ̃ναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτȣ̃. δι' ȣ̃ καὶ μεθ' ȣ̃· τῷ θεῷ καὶ πατρὶ ἡ δόξα καὶ τὸ κράτος, σὺν ἁγίῳ πνεύματι· εἰς τȣ̀ς αἰῶνας τῶν αἰώνων ἀμήν*: — Vide Bandinium tom. 1 pag. 378. In codice, quem describimus, subduntur statim hi versiculi hisce mendis inquinati:

Ἀθανατοίο, προαιώνων θεοῖο.
Μήτειρος κεδνῆς, υἷα γεγονότα·
Λουκᾶ αἰτῶσοι, μαθητῆς ὡς ὑπάρχων:
Βιότοιο πήματα, ἀλευόμενον·
Ὑπερτέγος, ἐκ τέλεων, ἐμὸν νόον: —
Θεοτερπία, ἀεὶ δρὰν, δὸς ἔργα:
Τῇ προσέκεῖνον, κρατεράτου δεήσει·
Φαέθων ὅτ' ἂν, ἀποβίλου ἐνδόξῃ·
Ἥξοντα κρίναι, γενεῖαν δρομέῃ:
Ἵλαον ποιοῦ, ἵν γέρα μοι· ὀπάζει:

In hocce commentario fol. 191. *a*. col. 1. leguntur hæc: *εἰ δὲ καὶ εἴπωμεν· ὅτι ὥσπερ τὸ ἄχραντον αὐτȣ̃ αἷμα μετὰ τȣ̃ ὕδατος ἐν τῷ καιρῷ τȣ̃ σταυρȣ̃ ἡγίασεν τὴν γῆν· στάξαν ἐν αὐτῇ· οὕτως καὶ ἡ περιτμηθεῖσα ἀκροβυστία· τῆς γῆς ψαύσασα, ταύτην ἡγίασεν· ȣ̓κ ἂν ἁμάρτοιμεν· πάντως δὲ καὶ οἷς οἶδεν λόγοις ὁ ἑκȣσίως περιτμηθεὶς ἐφύλαξεν τὸ περιτμηθὲν· ὅπως καὶ κατὰ τὸν καιρὸν τῆς ἀναστάσεως αὐτȣ̃· καὶ κατὰ τȣ̃το ἀνελλειπῶς ἔχων αὐτὸ, ἀναστῇ πλήρης ὑπάρχων· καὶ ἄφθαρτος ὅλῳ τῷ σώματι*. Et fol. 196. *a*. col. 1.

col. 1. citatur S. Cyrillus Alexandrinus: ibi enim legitur: περὶ τῆς πενθερᾶς πέτρȣ· καὶ περὶ τῶν ἰχθέντων...... περί τε πέτρȣ καὶ ἰωάννȣ.... προεγράφη εἰς τὸ κατὰ ματθαῖον. περὶ δὲ τῆς ἄγρας τῶν ἰχθύων· λέγει ὁ ἅγιος κύριλλος ὁ ἀλεξανδρείας· ὅτι διὰ τῶν ἀλευτικῶν ἐπιτηδευμάτων, ἀλιεύει τȣ̀ς μαθητὰς etc. Ex quibus verbis patet, hoc opus non esse Chrysostomi, cui inscribitur ab amanuensi.

IX. Fol. 218. *a*. col. 1. Titulus: Ἑρμηνία εἰς τὸ κατὰ μάρκον ἅγιον εὐαγγέλιον: — Incipit: Πολλῶν εἰς τὸ κατὰ ματθαῖον καὶ ἰστὸ κατὰ ἰωάννην· τὸν ὑὸν τῆς βροντῆς συνταξάντων ὑπομνήματα· ὀλίγων δὲ εἰς τὸ κατὰ λȣκᾶν· ȣ̓δενὸς δὲ ὅλως ὡς οἶμαι (sic), εἰστὸ κατὰ μάρκον εὐαγγέλιον ἐξηγησαμένου etc. Absolvitur folio 303, idest ultimo, *b*. col. 2. Postremæ duntaxat codicis paginæ, seu folii 303, litteræ evanuerunt, ut difficile legi possit. In prima pagina ejusdem folii 303. col. 2. legitur: διὰ τῶν ἐπακολουθούντων σημείων ἀμήν (quæ sunt postrema verba Euangelii secundum Marcum). Εὐσέβιος φησὶν ὁ καισαρείας ὡς μαρία μὲν ἡ μαγδαληνὴ............ ταῦτα οὖν φησὶν περὶ ἑτέρων ὁ μάρκος ἱστορεῖ γυναικῶν ἀνονύμων· οὐδὲ γὰρ οἷόν τε ἦν τὴν μαγδαληνὴν μετὰ τόσαυτ....... ἄλλος δέ φησι..... παρεῖσαν τοῖς ἐν τῇ ἀναστάσει γενομένοις οἱ εὐαγγελισταὶ· δῆλον ἐντεῦθεν ὡς.... ἕκαστος ἐν τοσοῦτω........ πραγμάτων τῶν αὐτοῖς παρὰ πᾶσαν ἐλπίδα σ..... άντων ἐπ....... έντων γεγονότων.......... αὐτῶν τȣ̃ τῆς ἀναστάσεως θαύματος (vox hæc ex vestigiis litterarum videtur elici).............. δὲ δογμάτων (nescio utrum scripta reipsa fuerit hæc vox, sed ex vestigiis litterarum videtur ita legendum)........ φ σ ὑπ μένων: — (syllabæ codicis postremæ sunt hæ, nim. μένων: — Videtur autem scriptum fuisse κηρυττομένων: qua voce absolvitur hic commentarius in Marcum).

In hoc commentario in Marcum citantur Clemens Alexandrinus, Papias Episcopus Hierosolymitanus, et S. Irenæus: nam fol. 218. *b* col. 1. hæc leguntur: γνῶντα δὲ (idest S. Marcum) τὸ πραχθὲν τὸν ἀπόστολον ἀποκαλύψαντος αὐτῷ τȣ̃ πνευματος· ἡσθῆναι μὲν· τῇ τῶν ἀνδρῶν προθυμίᾳ· κυρώσαιται (exscribo cum mendis quæ in codice sunt) τὴν γραφὴν εἰς ἔντευξιν ταῖς ἐκκλησίαις· κλήμης ἐν ἕκτῃ τῶν ὑποτυπώσεων παρατίθεται τὴν ἱστορίαν. σὺν ἐπὶ μαρτυρεῖται αὐτῷ καὶ ὁ ἱεραπολίτης ἐπίσκοπος· ὀνόματι παπίας..... Et paulo post: Καὶ εἰρηναῖος δὲ ὁ λουγδούνου ἐπίσκοπος μαθητῆς τῶν ἀποστόλων γενόμενος· ἐν τῷ τρίτῳ κατὰ αἱρέσεων λόγῳ φησὶν· ἑκάστȣ εὐαγγελίȣ· τὸν χαρακτῆρα ἐκτιθέμενος. Τοῖς ἀνθρώ-

ἀνθρώποις τὴν ἀρχὴν ἐποιήσατο· ἀρχὴ λέγων τȣ͂ εὐαγγελίȣ· καθὼς γέγραπται ἐν ἡσαΐα τῷ προφήτῃ· τὴν πτερωτικὴν εἰκόνα τȣ͂ εὐαγγελίου δεικνύων· διὰ τȣ͂το ϗ σύντομον ϗ παρατρέχȣσαν· τὴν καταγγελίαν πεποίηται· προφητικὸς γὰρ ὁ χαρακτὴρ οὗτος. Vide Notam 1. ad lib. 3. Irenæi contra hæreses cap. XI. pag. 191. col. 1. editionis Venetæ anni 1734. Vide etiam Bandinium tomo 1. superius memorato, pag. 134, et 355.

XXVIII.

Codex ingens, chartaceus, in folio, exaratus seculo XIII, aut XIV, constans chartis 483, quarum paucæ quædam hic, et illic suppletæ sunt seculo forsitan XVII.

I. Pag. 1. Tit. + ὑπόθεσις τῆς πρὸς κορινθίȣς δευτέρας ἐπιστολῆς. Initium: Ταύτην ἐπιστέλλει.

Pag. 2. Tit. Τȣ͂ ἐν ἁγίοις πατρὸς ἡμῶν ἰωάννȣ ἀρχιεπισκόπȣ κωνσταντινȣπόλεως τȣ͂ χρυσοστόμȣ, ἑρμηνεία εἰς τὴν πρὸς κορινθίȣς δευτέραν ἐπιστολήν: — Tum post allatos plures versiculos e secunda Epistola ad Corinthios incipit Chrysostomi commentarius sic: Ἄξιον ζητῆσαι πρότερον τίνος ἕνεκεν δευτέραν προστίθησιν. Continetur hic commentarius triginta homiliis.

II. Pag. 362. Tit. Τȣ͂ ἐν ἁγίοις πατρὸς ἡμῶν ἰωάννȣ ἀρχιεπ. κωνσταντ. τȣ͂ χρυσοστ. ἑρμηνεία εἰς τὴν πρὸς γαλάτας ἐπιστολὴν· μὴ ἰδίᾳ ἔχȣσα τὸ ἠθικόν: — Initium: Παῦλος ἀπόστολος...... Tum commentarius incipit: Πολλȣ͂ τὸ προοίμιον γέμει θυμȣ͂. Postrema verba sunt: τῶν τοιȣ́των δογμάτων ἡ ἀπάτη: —

XXIX.

Codex bombycinus, in folio, constans chartis σμβ, *i. e.* 242, *exaratus satis eleganter et emendate seculo XIV, aut fortasse etiam XIII. Initio occurrunt quatuor chartæ bona ex parte laceræ, et ab recentiore amanuensi exaratæ seculo XV, in quibus sermo est de Psalmis generatim. Post illas incipit codex, sed deest prima pagina; quæ enim nunc est prima, signata olim fuit numero* β, *idest* 2. *In imo hujus margine leguntur hæc seculo XVII. scripta:* Ἐκ τῶν τȣ͂ ἰακώβȣ ἱερέως τȣ͂ χριστόφορι. *Tum additum fuit:* νῦν δὲ ἰωάννȣ ἱερέως τρȣλινȣ͂ τȣ͂ κρητός. — *Ad hunc scripta epistola sequentem habet inscriptionem:* Al Molto Reverendo Signor Mio Osservandis-

dissimo il Signor Papà Giovanni Trulinò. — A S. Maria Odigitria. — Candia.

Continet codex hicce expositionem omnium Psalmorum, et Canticorum, sive Odarum, quæ Davidis Psalterio addi consueverunt. Sed quisnam sit expositionis auctor, Hesychius ne, an alius, ignoro. Pagina prima (notata numero β) sic incipit: ἁμαρτωλὰς τό γε νῦν ἔχων, κοινῶς καλεῖ τὰς μὴ ἀσεβεῖς μὲν, ἄλλως δὲ διεφθαρμένας καὶ φαύλας etc. Post 17. lineas incipit expositio secundi psalmi sic: ὁ δεύτερος ψαλμὸς ἀνεπίγραφος καὶ οὗτος παρ' ἑβραίοις· προαγορεύει δὲ τὴν κατὰ τοῦ σωτῆρος τῶν ἀνελόντων ἐπιβουλήν· εἶτα καὶ κλῆσιν ἐθνῶν· καὶ ἰουδαίων ἀπώλειαν: — Ἵνα τί ἐφρύαξαν ἔθνη etc. usque ad συνήχθησαν ἐπὶ τοαυτό: — Tum: Τοῖς προφητικοῖς ὀφθαλμοῖς ὁρῶν αὐτῶν τὴν λύτταν ὁ δαυίδ· σχετλιαστικῶς καὶ θρηνητικῶς προάγει τὸν λόγον· ὅτι φεῦ, διὰ τί τοσοῦτον μανέντες ἐθορυβήθησαν καὶ πάντα ἐκήκυσαν· καὶ ἠλαζονεύσαντο· ταῦτα γὰρ σημαίνειν τὸ, ἐφρύαξαν οἱ τὸ ἑβραϊκὸν ἐξελληνίσαντες λέγουσιν· ἔθνη μὲν οὖν, οἱ ἀμφὶ τὸν πιλάτον ῥωμαῖοι στρατιῶται· λαοὶ δὲ οἱ ἀμφὶ τὸν ἄνναν καὶ καϊάφαν ἰουδαῖοι· βασιλεῖς δὲ ἡρώδης· ἄρχοντες δὲ πιλάτος· οὕτως γὰρ ἐν τῇ βίβλῳ τῶν πόλεων ἱστόρηται· βασιλεῖς δὲ καὶ ἄρχοντας πληθυντικῶς εἴρηκε, κατὰ τὴν τῆς ἑβραΐδος διαλέκτου συνήθειαν· πληθυντικοῖς ἀντὶ ἑνικῶν πολλάκις χρωμένης. Pag. 195. in expositione tituli psalmi 118. citat auctor proœmium sui operis his verbis: Πολλὰς πραγμάτων ἔσχε μεταβολὰς ὁ θεῖος δαυίδ· ὡς καὶ ἐν τῷ προοιμίῳ τῆς παρούσης βίβλου διηγησάμεθα. Absolvitur expositio psalmorum pag. σλ, i. e. 230. his verbis: Καὶ τὸν παρόντα βίον ἀπροσκόπως ἀνύσομεν, καὶ τῶν μελλόντων ἀπολαύσομεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα τιμὴ καὶ προσκύνησις· εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν: — Statim post expositionem psalmi 150. sequuntur expositiones canticorum Mosis duorum, Annæ, Abacuchi, Isaiæ, et Jonæ. Postrema hæc mutila est.

XXX.

Codex membraneus, in folio mediocris magnitudinis, initio, et in fine mutilus: scriptus parum emendate seculo XIV, constans chartis nunc 123. In secundi folii margine scriptum est: 1700. ἀπριλίου. 20. μακάριος ἱερομόναχος καὶ ἡγούμενος στροφάδων. *Ibidem manu*

manu aliquanto antiquiore: τὸ παρὸν ἐστὴ τῶν στροφάδων. *Folio 4. in margine*: 1744. ἰȣνίȣ. 20. Θεφηλάκτος ἡερομονάχος *(sic)* ... *Singulæ chartæ habent quatuor columnas, nempe singulæ paginæ binas. In ultimæ chartæ margine scriptum est*: Τῶν στροφαδων ἐστὴ + νεκτάριος. *(Vides, quam probe græci nunc calleant linguam græcam.)*

I. Initio codicis desiderantur plurima folia, in quibus scripta erat Interpretatio in Isaiam: nempe deest expositio priorum 27. capitum, quæ dividuntur hic in capitula. Prima codicis verba modo sunt: ος ιηλ ὅτι μετ' ὀλίγον ἡ ἐλπὶς ἡ προσδοκȣμένη (sic) ἥξει χριστός· κ) ἥκοντος μὴ ἀμφισβητήσεις. ὅτι ὁ σώζων ἥξει ταχὺ· τὴν ἀσύνετον συναγωγὴν ὀμματίζων φησὶ μιμνήσκει. Primum capitulum, quod occurrit in ipsa prima pagina col. 1, est versiculus 13. capitis 28. Isaiæ, nempe: Καὶ ἔσται αὐτοῖς τὸ λόγιον κυρίȣ τȣ̃ Θεȣ̃. Θλίψις ἐπὶ Θλίψιν etc. usque ad κ) ἁλώσονται: — Quorum verborum explicatio col. 2. sic incipit: E"σται τοῖς ἰȣδαίων δήμοις (sic), τὸ ῥῆμα τῆς προφητείας· θλίψις ἐπὶ Θλίψιν· ὅτι κ) μὴ ἀκȣ́σαντες ἀστοχήσȣσι τῆς ζωῆς· ὅτι κ) ἀστοχήσαντες, τιμωρίαν ὑφέξȣσιν· ἐλπὶς ἐπ' ἐλπίδι· ὅτι προσδοκῶντες χριςὸν, ἐλθόντος ȣ̓κ ἐπίστευσαν· κ) ὅτι τὸν ἀντικείμενον ἀντίχριστον ἀπεκδέχονται· διὰ τȣ̃το ἔλεγεν ὁ προφήτης αὐτοῖς· ἔτι μικρὸν κ) ὁ χριστὸς ἥκει ἵνα εἰς αὐτὸν πιστεύσαντες σωθῶσιν. In eadem pagina col. 2. post prædictum capitulum seu versiculum proxime sequitur capitulum 149, nempe versiculi 14, et 15. ejusdem capitis: Διὰ τȣ̃το ἀκȣ́σατε λόγον κυρίȣ ἄνδρες τεθλιμμένοι κ) ἄρχοντες etc. Et col. 1. paginæ secundæ in eadem charta sequitur capitulum 150, nempe versiculus 16: Διὰ τȣ̃το ȣ̔́τως λέγει κύριος· ἰδȣ̀ ἐγὼ ἐμβαλῶ etc. usque ad ȣ̓ μὴ καταισχυνθῇ. Et ita deinceps. Numerantur autem capitula usque ad 199. capitulum, quod exstat fol. 11. pag. 1. col. 2, et est versiculus 16 capitis 45 Isaiæ: nempe ἐγκαινίζεσθαι (sic) πρός με νῆσοι. οἱ γὰρ αρχοντες ἀλλάξȣσιν ἰσχύν: — tum sequitur capitulum 200. Post hoc autem librarius pro σα, σβ etc. scribit α, β etc., idest 1, 2. etc. Absolvitur hoc opus fol. 31. pag. 1. col. 1, ubi explicatur ultimum capitulum signatum numero ρα, i. e. 101, nempe duo postremi versiculi Isaiæ: κ) ἔσται μῆνα (sic) ἐκ μηνὸς etc. usque ad εἰς ὅρασιν πᾶσιν ἀνθρώποις. Cujus capituli expositio, imo totius Isaiæ, absolvitur his verbis: οἱ δὲ ἀπειθήσαντες κ) ἔτι ἀπειθȣ̃ντες ἀπολȣ̃νται· τὸ γὰρ πῦρ αὐτῶν ȣ̓ σβεσθήσεταί φησι, κ) ὁ σκώληξ αὐτῶν ȣ̓ τελευτήσει: — Cujusnam Auctoris sit hæc Interpretatio,

tatio, ignoro. Multa folia, quæ pertinent ad hoc opus, quæque imperitus bibliopegus in fine codicis posuit, ponenda sunt initio ipsius.

II. Fol. 31. pag. 1. col. 2. Tit. ✠ Τȣ̃ ἐν ἁγίοις πατρὸς ἡμῶν γρηγορίȣ ἐπισκόπȣ νύσσης ἑρμηνεία εἰς τὸν ἐκκλησιαστήν. ὁμιλία πρώτη. ✠ Incipit: Ῥήματα ἐκκλησιαστȣ̃ ὑȣ̃ Δαυὶδ usque ad μετὰ τῶν γενησομένων εἰς τὴν ἐσχάτην. Post quæ Ecclesiastis verba Nyssenus sic incipit: Πρόκειται ἡμῖν ὁ ἐκκλησιαστὴς εἰς ἐξήγησιν. Fol. 38. pag. 1. col. 1. Tit. ✠ Τȣ̃ αὐτȣ̃ εἰς τὸν ἐκκλησιαστήν. ὁμιλία β: — Fol. 43. pag. 2. col. 1. incipit homilia tertia. Fol. 49. *b.* quarta. Fol. 56. *a.* quinta. Fol. 61. *a.* sexta. Fol. 67. *a.* septima: et, cum folia suo loco posita non sint, fol. 83. incipit homilia 8. sic: Καιρός φησι τȣ̃ φιλῆσαι.

III. Fol. 71. pag. 1. col. 1. Titulus: ✠ Θεοδωρήτȣ ἐπισκόπȣ κύρȣ εἰς τὸ .... Incipit: Καὶ ἄλλοι μὲν φιλομαθεῖς ἄνδρες ἐπηγγείλαντο διαλύσαι etc. Sunt autem Quæstiones in Genesim. Desunt multa.

XXXI.

Codex chartaceus, in quarto, scriptus seculo circiter XV, mutilus in fine, constans 46. quaternionibus, quorum singuli octo habent chartas. Ex Cephallenia insula Venetias allatus est, ut patet ex his verbis nudius tertius initio appositis: Stati Loverdo da Lixuri in Cefalonia.

I. Quatuor primis paginis manu recentiore scripta fuit quædam interpretatio Sacræ Liturgiæ Græcorum: quæ interpretatio nunc initio mutila est, desunt enim aliquot folia. Prima, quæ supersunt verba, hæc sunt: καὶ νεκρȣ̀ς, ἀποδȣ̀ς ἑκάστῳ κατὰ τὸ ἔργον αὐτȣ̃. Hujus interpretationis continuatio legitur in imo cujusque folii margine, et absolvitur pagina 2. quaternionis 41. his verbis: καὶ τὴν ἀνάστασιν ὁμολογȣ̃ντες τȣ̃ κυρίȣ ἡμῶν ἰησȣ̃ χριστȣ̃· ᾧ ἡ δόξα εἰς τȣ̀ς αἰῶνας ἀμήν: — τέλος.

II. Fol. 5, quod est primum vetustioris codicis, incipit quidam veluti Index in psalmos, cujus auctor indicat, qua quisque psalmus occasione recitandus sit. Incipit: α. Ἐὰν θέλῃς μακαρίσαι τινὰ, λέγε τὸν α'. καὶ τὸν λα'. καὶ τὸν ριη. καὶ τὸν ριζ ψαλμόν.

III. Fol. 9. Tit. Ὑπόθεσις εὐσεβίȣ παμφίλȣ. — Incipit: Τῆς

βίβλȣ

βίβλȣ τῶν ψαλμῶν ἥδε ἂν εἴη διαίρεσις. Tum sequuntur pag. 2. ejusdem folii Eusebii Argumenta in singulos psalmos. Tit. Ὑπόθεσις τȣ͂ αὐτȣ͂ εὐσεβίȣ τȣ͂ παμφίλȣ, εἰς τȣ̀ς ψαλμȣ̀ς. Initium: α. Προτροπὴ θεοσεβείας κ) ἀποτροπὴ τȣ͂ ἐναντίȣ. β. προφητεία περὶ χριστȣ͂ κ) κλήσεως ἐθνῶν. Hæc omnia edita sunt a Montfauconio in Commentariis Eusebii in psalmos. Fol. 12. sequuntur argumenta Canticorum. Tit. Ὑπόθεσις τῶν ᾠδῶν. Initium: α. Μωυσέως ἐν τῇ ἐξόδῳ, βιβλίῳ δευτέρῳ τῆς ὀκτατεύχȣ. Duodecim heic recensentur Cantica, quorum undecimum est *Oratio Manassis*. Legi possunt quæ dixi in meo Didymo pag. 399. Not. 2.

IV. Fol. 13. sequuntur quædam prolegomena in Psalmos. Tit. βίβλος ψαλμῶν, ἤτοι ψαλτήριον. Initium: ψαλτήριον κυρίως, ἐργάνȣ εἶδος ἐστὶ μȣσικόν, ναῦλα παρ' ἑβραίοις ὀνομαζόμενον. Absolvuntur fol. 20. his verbis: ἀνέστη γὰρ κ) ζῇ εἰς τȣ̀ς αἰῶνας ἀμήν: — Hesychii esse conjicio hoc procemium ex iis, quæ apud Fabricium scribit Sadoletus Bibl. gr. vol. 6. pag. 244. Nam hic quoque paulo post initium legimus: πάντες δὲ οἱ ψαλμοὶ, ποίημα τȣ͂ δαυίδ, etc.

V. Fol. 21. incipit expositio Psalmorum, auctore Hesychio Jerosolymitano. Tit. Ἡσυχίȣ κ) (sic) πρεσβυτέρȣ ἱεροσολύμων εἰς τὴν ἑρμηνείαν τȣ͂ ψαλτηρίȣ: — Initium: Μακάριος ὁ ἀνὴρ etc. usque ad ἀσεβῶν. Tum: Ἔστιν μὲν ȣ̓͂ν ὁ μακάριστος. (Vide superius codicem XXIV. pag. 28. hujus Indicis, ubi pro μακαρισμὸς lege μακαριστὸς oxytone, non vero, ut heic, proparoxytone: quod vocabulum invenies, ut alios omittam Scriptores, et Lexicographos, in Apollonio Sophista a Viro eximio Villoisonio nuper evulgato, et summa diligentia, atque eruditione illustrato, pag 596. ad vocem ὄλβιος). Sed in hoc 31. codice post verba παραβάντας δὲ τὰς τȣ͂ θεȣ͂ ἐντολὰς, additur: ὡς ὁ ἐκεῖνος ἐποίει ἐν μέσῳ τῶν σοδομιτῶν τυγχάνων. Et pro ὃς συμπαρεγένετο legitur heic, ὅτι ȣ̓ συμπαρεγένετο. Absolvitur hæc psalmorum interpretatio, ut in codice XXIV. Tum sequitur apocryphus psalmus 151, Μικρὸς ἤμην, sine ulla interpretatione. Adduntur demum Cantica brevibus itidem interpretationibus illustrata; at cum codex sit in fine mutilus, nunc supersunt duntaxat septem, h. e. duo Mosis, tertium Annæ, quartum Abbacuchi, quintum Isaiæ, sextum Jonæ, septimum Trium puerorum, cujus deest finis.

Ex codice XXIV. speciminis loco exscripsi superius pag. 28. primi psalmi interpretationem. Nunc secundi explanationem ex præsenti codice affero; quæ sic se habet:

Προκει-

Προκειμένη ἐπιγραφὴ περιέχει· ἀνεπίγραφος παρ᾽ ἑβραίοις· ὅπερ δηλοῖ ἀγνωσίαν ἐθνῶν τε κ̀ ἰȣδαίων. τὸ γὰρ ἀνεπίγραφον ἄδηλον ὑπάρχει τοῖς πολλοῖς. ἀγνωσίαν ȣ̓ν ἐθνῶν τε κ̀ ἰȣδαίων κατηγορεῖ ὁ ὑποτεταγμένος ψαλμός. ἀγνωσίαν δὲ λέγειν (sic) ἣν ἔσχον τὴν περὶ τὸν δεσπότην χριστόν· καθὼς φησὶν ὁ ἀπόστολος· ἐν τῷ κόσμῳ ἦν· κ̀ ὁ κόσμος δι᾽ αὐτȣ̃ ἐγένετο· κ̀ ὁ κόσμος αὐτὸν ȣ̓κ ἔγνω· εἰ γὰρ ἔγνωσαν· ȣ̓κ ἂν αὐτὸν ἐσταύρωσαν. ταύτην ȣ̓ν τὴν ἄγνοιαν δημηγορῶν ὁ ψαλμὸς, ἤρξατο λέγων ȣ̔́τως:

Ι῾να τί ἐφρύαξαν ἔθνη· κ̀ λαοὶ ἐμελέτησαν κενά: — ἵνα τί κατεπήρθησαν τȣ̃ θεȣ̃ κ̀ ἐβȣλεύσαντο ἅπερ ȣ̓κ ἠδυνήθησαν ἐκτελέσαι κατ᾽ αὐτȣ̃· ἐπειδήπερ τὸ ἔθνος τῶν ἰȣδαίων ἐθυμομάχȣν κατὰ τȣ̃ ἰησȣ̃:

Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς: — ἡρώδης ὁ βασιλεύς:

Καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό: — τὸν πιλάτον λέγει κ̀ ἄνναν κ̀ καϊάφαν:

Κατὰ τȣ̃ κυρίȣ κ̀ κατὰ τȣ̃ χριστȣ̃ αὐτȣ̃: — κατὰ τȣ̃ σωτῆρος ἰησȣ̃ χριστȣ̃:

Διαῤῥήξωμεν τȣ̀ς δεσμȣ̀ς αὐτῶν: — τὸν σύνδεσμον λέγει τῆς ἀγάπης· ἧς εἶχον οἱ ἄγγελοι πρὸς αὐτȣ́ς:

Καὶ ἀποῤῥίψωμεν ἀφ᾽ ἡμῶν τὸν ζυγὸν αὐτῶν: — λαβόντες γὰρ τὸν νόμον ἰȣδαῖοι ȣ̓κ ἐφύλαξαν· ἀλλ᾽ ἐδȣλώθησαν τῇ ἁμαρτίᾳ:

Ο῾ κατοικῶν ἐν ȣ̓ρανοῖς ἐκγελάσεται αὐτȣ̀ς κ̀ ὁ κύριος ἐκμυκτηριεῖ αὐτȣ́ς: — ἐξȣδενώσει γὰρ αὐτȣ̀ς κύριος ὁ θεὸς ἐν ἡμέρᾳ κρίσεως· ȣ̓ μὴν δὲ, ἀλλὰ κ̀ ὅσοι ȣ̓ρανίȣ φρόνησιν ἔχωσιν, τȣ́τοις γελῶσιν:

Τότε λαλήσει πρὸς αὐτȣ̀ς ἐν ὀργῇ αὐτȣ̃· κ̀ ἐν τῷ θυμῷ αὐτȣ̃ ταράξει αὐτȣ́ς: — Τότε· πότε; ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ κ̀ κρίσει τῇ δικαίᾳ· λαλήσει πρὸς αὐτȣ̀ς ἐν ὀργῇ αὐτȣ̃ κ̀ ἀποῤῥίψει αὐτȣ̀ς ἀπὸ τȣ̃ προσώπȣ αὐτȣ̃. ὀργὴν δὲ κ̀ θυμὸν νόει κ̀ τὴν ῥωμαϊκὴν στρατίαν:

Ε᾽γὼ δὲ κατεστάθην βασιλεὺς ὑπ᾽ αὐτȣ̃: — ἐγὼ δὲ ἀνεδείχθην βασιλεὺς ὑπὸ τȣ̃ πατρὸς· καθὼς φησὶ· σὺ εἶ ὁ ὑός μȣ ὁ ἀγαπητός. λέγει δὲ κ̀ ὁ σωτὴρ ὅτι κ̀ πᾶσαν τὴν ἐξȣσίαν δέδωκα τῷ ὑῷ: — (in margine, ἄλλως). ὡς ἀποβληθέντος τȣ̃ ἐξ ἰσραὴλ λαȣ̃ τὴν εἰς τὰ ἔθνη γενομένην αὐτȣ̃ πίστιν διηγεῖται· ἐγώ φησιν ὁ χριστὸς ὁ τὸν νόμον δȣ̀ς τῷ μωυσῇ· κ̀ μετὰ σαρκὸς ἀπὸ τȣ̃ ἐμȣ̃ κ̀ ἐμφύτȣ πατρὸς κατεστάθην ἐπὶ πᾶσαν τὴν ὑφήλιον γῆν βασιλεύς:

Ε᾽πὶ σιὼν ὄρος τὸ ἅγιον αὐτȣ̃: — Τὸ σιὼν τόπος ἑρμηνεύεται ὅπȣ ἡ σκηνή· βασιλεὺς ȣ̓ν ἀνεδείχθη ὑπὸ τȣ̃ πατρὸς ἐπὶ σιὼν τȣτέστιν ἐν ȣ̓ρανοῖς· ἔνθα ἔστιν ἡ ἀληθινὴ σκηνή· ἣν ἔπηξεν ὁ κύριος κ̀ ȣ̓κ ἄνθρωπος. ἤγȣν τὴν ἐκκλησίαν.

Διαγγέλλων τὸ πρόσταγμα κυρίȣ: — Ε᾽κ τῶν ȣ̓ρανῶν ἀκȣστὴν ἐποίησε τὴν φωνὴν αὐτȣ̃ βοῶν κ̀ λέγων· σὺ εἶ ὁ ὑός μȣ ὁ ἀγαπητος·

τός· αὐτὸς γὰρ τὴν βȣλὴν τȣ̃ πατρὸς ἐκήρυξε πανταχȣ̃ ϗ τὴν αἰώνιον ζωήν:

Κύριος εἶπε πρός με· ὑός μȣ εἶ σύ: — Ἐν τῷ εἰπεῖν τὸν πατέρα ἄνωθε· ὅτι ȣ̃τός ἐστιν ὁ ὑός μȣ ὁ ἀγαπητός:

Ἐγὼ σήμερον ἐγέννησά σε: — Νῦν ἐφανέρωσά σε· πρὸ γὰρ τῶν αἰώνων, ἀποκεκρυμμένος ἦς ἐν ἐμοὶ τῷ πατρί σȣ. καθὼς καὶ ὁ ἀπόστολος ἰωάννης φησίν· ὁ ὢν τοῖς κόλποις τȣ̃ πατρός:

Αἴτησαι παρ᾽ ἐμȣ̃ ϗ δώσω σοι ἔθνη τὴν κληρονομίαν σȣ ϗ τὴν κατάσχεσίν σȣ τὰ πέρατα τῆς γῆς: — Διὰ τὸ εἰπεῖν τὸν χριστόν· πάτερ ȣ̔̃ς δέδωκάς μοι θέλω ἵνα ὅπȣ εἰμὶ ἐγώ, κἀκεῖνοι ὦσιν. τὸν ἐξ ἐθνῶν λέγει λαὸν ὃς διὰ τῆς παρȣσίας τȣ̃ κυρίȣ ἐσώθη:

Ποιμανεῖς αὐτȣ̀ς ἐν ῥάβδῳ σιδηρᾷ· ὡς σκεύη κεραμέως συντρίψεις αὐτȣ́ς: — Ἐν ἐξȣσίᾳ ἰσχυρᾷ ϗ δυνάμει πάντας λεπτυνεῖς ϗ δαμάσεις τοῖς μὴ πειθομένοις τοῖς τȣ̃ νόμȣ προστάγμασίν σȣ· πάντα γὰρ ὅσα προστάσσει ὁ θεός, ἰσχυρὰ ὡς σίδηρον εἰσί· μὴ φυλάξαντες δὲ αὐτὰ οἱ ἰȣδαῖοι, συνετρίβησαν ὥσπερ ὄστρακα ἄχρηστα· νόει μοι δὲ ῥάβδον σιδηρᾶν, τὸν σταυρὸν ὡς ἰσχυρόν:

Καὶ νῦν βασιλεῖς σύνετε: — Ἐπίγνωτε ὅτι ȣ̃τός ἐστιν ὁ θεός:

Παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν: — Ἐὰν μὴ δύνασθε τȣ̃ ἐπιγνῶναι· κἂν ἐκ τῶν θείων γραφῶν παιδεύθητε ὅτι αὐτός ἐστιν ὁ θεὸς ἡμῶν:

Δȣλεύσατε τῷ κυρίῳ ἐν φόβῳ, ϗ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ: — Ἐὰν δȣλεύσητε καλῶς τῷ κυρίῳ, ἀγαλλιᾶσθε ϗ εὐφρανθήσεσθε ἐν τῇ τῶν ȣ̓ρανῶν βασιλείαι:

Δράξασθε παιδείαν μήποτε ὀργισθῇ κύριος ϗ ἀπολεῖσθε ἐξ ὁδȣ̃ δικαίας: — Ὁδὸν δικαίαν νῦν· τὸ τάγμα τῶν δικαίων φησίν· ἤγȣν ἐπιλαβέσθε ῥιζώσατε ἐν τῇ τȣ̃ κυρίȣ διδασκαλίᾳ· μήποτε ὡς ἀμελȣ́ντων ἡμῶν ϗ καταφρονȣ́ντων ὀργισθείη· ϗ ἀναξίȣς ἡμᾶς ἡγήσηται τῆς δεξιᾶς στάσεως τῶν ἁγίων:

Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτȣ̃: — Ὅταν τὸ πῦρ τῆς ἐκδικήσεως προπορεύσηται ἔμπροσθεν τȣ̃ βήματος αὐτȣ̃· σφοδρῶς ἐν τῇ μελλȣ́σῃ κρίσει:

Μακάριοι πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτόν: — Πάντες γὰρ οἱ τὴν ἐλπίδα ἐπὶ τὸν θεὸν ὀρθῶς κεκτημένοι· μακάριοί εἰσὶ ϗ τρισμακάριοι· φησὶ γὰρ ὁ χριςός· ὅτι μακάριοι εἰσὶ οἱ μὴ ἰδόντες ϗ πιστεύσαντες:

In codice XXII. aliam interpretationem Psalmorum vidimus pag. 141, sed mancam: quæ etsi huic Hesychii similis sit, diversa tamen est. Alteram nihilominus cum altera conferens in psalmo 56, inveni nonnulla alterum ab altero auctorem exscripsisse. Hesychius sic incipit, post explicationem tituli, qui præponitur psalmo 56. Ἐλέ-

Ἐλέησόν με ὁ Θεὸς ἐλέησόν με· ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μȣ: — Ὁ προφήτης βοᾷ ὡς ἐκ προσώπȣ τȣ̃ χριστȣ̃· ὁ δὲ χριςὸς ὡς ἐκ προσώπȣ τȣ̃ ἀδάμ:

Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σȣ ἐλπιῶ: — Καὶ ἐν τῇ ἀναπαύσει τῶν δύο σȣ διαθηκῶν ἐλπιῶ: — Ἐξεδέχετο γὰρ τὴν παρȣσίαν τȣ̃ χριστȣ̃ ὁ ἄνθρωπος ἵνα ἐπισκιάσῃ αὐτὸν ταῖς πτέρυξιν, ὅ ἐστι σῶμα δεσποτικόν:

Alter vero, post tituli explicationem quæ diversa est, sic incipit:

Ἐλέησόν με ὁ Θεὸς ἐλέησόν με ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μȣ: — Ὁ λόγος περὶ τȣ̃ ἀδάμ· ὁ προφήτης βοᾷ ἐκ προσώπȣ τȣ̃ χριστȣ̃· ὁ χριστὸς πάλιν ἐκ προσώπȣ τȣ̃ ἀδάμ· διπλȣ̃ν ἐπιζητεῖ τὸ ἔλεος ὁ ἄνθρωπος ὡς τῆς ἁμαρτίας ἐξο.. ομένης:

Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σȣ ἐλπιῶ: — Ἐξεδέχετο γὰρ τὴν παρȣσίαν τȣ̃ χριστȣ̃ ὁ ἄνθρωπος· ἵνα ἐπισκιάσῃ αὐτῷ ταῖς πτέρυξιν· ὅ ἐστιν τὸ σῶμα τὸ δεσποτικόν:

XXXII.

Codex chartaceus, in folio, constans chartis 101, *exaratus seculo XVI. Erat Monasterii S. Georgii* τῶν κρημνῶν βȣνῶν ζακύνθȣ.

I. Pag. 1. Tit. Τȣ̃ μακαριωτάτȣ κ̀ ἁγιωτάτȣ θεοφυλάκτȣ ἀρχιεπισκόπȣ βȣλγαρίας ἐξήγησις εἰς τὸ κατὰ ματθαῖον εὐαγγέλιον: — Initium: Οἱ μὲν πρὸ τȣ̃ νόμȣ. Progreditur hic commentarius usque ad pag. 47, nempe ad ea verba Matthæi: Οὐαὶ ὑμῖν γραμματεῖς φαρισαῖοι ὑποκριταὶ ὅτι ἀποδεκατȣ̃τε etc. Reliqua vero desiderantur. Multæ enim hic paginæ desunt, ac eæ etiam, in quibus erat initium sequentis opusculi.

II. Pag. 48. Homiliæ decem in Genesim. Primæ deest initium. Secunda incipit pag. 50. Tit. Εἰς τὴν ἀρχὴν τῆς κτίσεως. Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν ȣ̓ρανὸν κ̀ τὴν γῆν: — Κύριε εὐλόγησον: — Initium: Πολλῆς σήμερον πληρȣ̃μαι τῆς ἡδονῆς, ὁρῶν ὑμῶν τὰ ποθεινὰ πρόσωπα.

XXXIII.

Codex chartaceus, in quarto, seculi XVI, constans chartis 155. *Continet duntaxat Interpretationem Andreæ Archiepiscopi Cæsareensis in Apocalypsim. Tit. est:* Τȣ̃ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀνδρέȣ ἀρχιεπισκόπȣ καισαρείας καππαδοκίας ἐπιστολὴ κυρίῳ μου ἀδελφῷ κ̀ συλ-

συλλειτυργῷ ἤ τις εἰς τὸ ἀργίον: — Incipit: Πολλάκις αἰτηθεὶς παρὰ πολλῶν ἐξ ἀγάπης μείζονα τῆς ἐμῆς δυνάμεως. Post epistolam hanc prolusoriam incipit pag. 3. ipsa interpretatio. Tit. ἀρχὴ σὺν θεῷ ἁγίῳ· κείμενον: (i. e. Textus) — Α᾿ποκάλυψις ἰησῦ χριστῦ, et cetera usque ad ἐν τάχει. Tum: Ε῾ρμηνεία: (i. e. expositio) — Α᾿ποκάλυψις μέν ἐστιν, ἡ τῶν κρυπτῶν μυστηρίων δήλωσις. Vide Bandinium tom. 1. pag. 138. Cod. græc. 19. Plutei 6.

XXXIV.

Codex chartaceus, in folio, constans chartis 352, exaratus seculo XVI.

Continet Catenam in Psalmos: manu autem recentiore in paginarum marginibus a pagina 1. usque ad ultimam scriptum fuit aliud opus.

I. Pag. 2. incipit Catena. Tit. ✝ Ψαλτήριον σὺν Θεῷ, περιέχον τὴν ἑρμηνείαν τῶν ἑκατὸν πεντήκοντα ψαλμῶν· ἅμα τῶν ᾠδῶν κ̀ εὐχῶν· σὺν ἀκριβείᾳ πολλῇ κατὰ στίχον, τῦ ἐν ἁγίοις πατρὸς ἡμῶν βασιλείυ τῦ μεγάλυ: κ̀ ἑτέρων ἁγίων ἐξηγητῶν: — Tum sequuntur duodecim Ι῎αμβοι εἰς τὸ ψαλτήριον, sic incipientes: Α῎κυε δαυὶδ τῦ παρ᾿ ἡμῖν ὀρφέως. Deinde ἕτεροι στίχοι, sic incipientes: Τῦ πνεύματος τὰ θεῖα τόξα κ̀ βέλη. Ac tum demum incipit ipsius Catenæ Prologus sic. Tit. Τῦ ἐν ἁγίοις πατρὸς ἡμῶν βασιλείυ τῦ μεγάλυ: — Πᾶσα μὲν παλαιᾶς κ̀ νέας διαθήκης θεόπνευστος γραφή. Et pag. 4. Υ῾πόθεσις εὐσεβίυ τῦ παμφίλυ εἰς τὺς ρν ψαλμύς. Pag. 7. expliciunt prolegomena, et incipit expositio primi psalmi sic: Μακάριος ἀνὴρ etc. Τὸ μακάριος ὄνομα, τῆς κατ᾿ ἀρετὴν πολιτείας ὑπάρχει καρπός. Auctores, ex quibus contexta est Catena, præter Basilium, et Eusebium, sunt Diodorus, Chrysostomus, Hesychius, Theodoretus, Cyrillus, Arethas Archiepiscopus, Athanasius, Didymus ad initium psalmi 31. pag. 68, Eulogius Papa (Alexandriæ), Origenes, rursus Didymus pag. 125. ad psalmum 54, tertiùm Didymus pag. 132. ad ps. 58, quartùm Didymus pag. 135, quintùm Didymus pag 136, sextùm Didymus pag. 144, tum bis pag. 147, Severus pag. 176, Didymus pag. 190, et 204. bis, pag. 206, 208, Apollinarius, Anastasius Nicænus pag. 241. Absolvitur hæc Catena pag. 350. his verbis: ἅπαντας τὺς τὴν οἰκυμένην οἰκῦντας: — Cantica Mosis, ac reliqua desunt.

II. Pag.

II. Pag. 1. Tit. Τȣ̃ ἐν ἁγίοις πατρὸς ἡμῶν γερμανȣ̃ ἀρχιεπισκόπȣ κωνσταντινȣπόλεως ἱστορία ἐκκλησιαστικὴ κ̀ μυστικὴ θεωρία. Initium: Ἐκκλησία ἐστὶ ναὸς Θεȣ̃. Progreditur opus usque ad postremam codicis paginam, ut dixi. Vide Fabricium vol. 10. Bibl. Gr. pag. 210.

XXXV.

Codex chartaceus, in quarto, scriptus seculo XVI, constans 33. quaternionibus. Fuit olim Anastasii Burderii, qui pag. 1. scripsit in margine hæc verba: ἐκ τῶν Ἀναστασίȣ ἱερέως τȣ̃ βȣρδερίȣ:

Continet duntaxat Commentarium, D. Basilio tributum, in Isaiam. Tit. Τȣ̃ ἐν ἁγίοις πατρὸς ἡμῶν βασιλείȣ ἀρχιεπισκόπȣ καισαρείας τῆς καππαδοκίας ȣ̓ρανοφάντορος τȣ̃ μεγάλȣ, ἑρμηνεία εἰς τὸν προφήτην ἠσαΐαν: — Initium: Εὔξασθαι δεῖ μὴ γενέσθαι τὴν φυγὴν ὑμῶν χειμῶνος ἢ σαββάτῳ. Σημειωτέον, ὅτι χειμῶνα ὁ Θεὸς ȣ̓κ ἐποίησε. Divisum est hoc opus in sexdecim capita. Absolvitur his verbis: Ἐπ' εὐεργεσίᾳ τῶν ἐπικεκροτημένων: — Vide apud Bandinium cod. 2. græc. plut. 4, tomi 1. pag. 518.

XXXVI.

Codex chartaceus, in folio, scriptus initio seculi XVII, constans paginis 188. In margine primæ paginæ quidam scripsit: Ἐκ τῶν τȣ μιχαὴλ ἐψ..... τȣ̃ ἀγαπητȣ. *In postrema pagina amanuensis ipse, qui totum codicem scripsit, hæc addidit:* + Θεȣ̃ τὸ δῶρον κ̀ πόνος μανȣὴλȣ, λιμνῶν ἐκ κώμης, τὸ γένος γρηγορίȣ· ἐν ἔτει ͵αχθ, μηνὸς ὀκτωβρίȣ ιδ: — *Tum alia manu:* ἐκ καρῶν κρήτης λιμνῶν ἐστὶν ἡ κόμη.

Nihil aliud continet hicce Codex, quam Nicetæ Heracleensis Catenam in Job. Titulus est: Ἐξήγησις εἰς τὸν μακάριον ἰὼβ................ τὸν ἡρακλείας. Initium: Ὑπόθεσις μὲν ἡμῖν κ̀ σκοπὸς τȣ̃ λόγȣ. Ultima verba sunt: Ἕκαστος δὲ τῶν ἀναγινωσκόντων ὥσπερ εἰς ἀρχέτυπον τινὰ εἰκόνα ὁρῶντα τὸν ἀθλητὴν τȣ̃τον τὸν γενναῖον μιμείσθω τὴν ἀνδρείαν· ζηλȣ́τω τὴν ὑπομονὴν, ἵνα τὴν αὐτὴν βαδίσας ὁδὸν κ̀ πρὸς ἁπάσας τὰς τȣ̃ διαβόλȣ μηχανὰς γενναίως παραταξάμενος τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσι τὸν Θεὸν ἐπιτυχεῖν δυνηθῇ, χάριτι χριστȣ̃ τȣ̃ ἀληθινȣ̃

Θεȣ̃

Θεȣ̃ ἡμῶν μεθ' ȣ̃ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι εἰς τȣ̀ς αἰῶνας ἀμήν :

XXXVII.

Codex chartaceus, in folio, eleganter et accurate scriptus seculo XVII, constans chartis 339. In postrema pagina manu recentiore exaratum legitur hoc monitum : + Τὸ παρὸν ψαλτήριον ἤναι τῆς εὐασμίας (*pro* ἐστὶ τῆς σεβασμίας) μονῆς τȣ̃ μεγαλομάρτυρος γεωργίȣ τὸν κρημνῶν βȣνῶν ζακύνθȣ κόπος κ̀ ἐπιμέλεια τȣ̃ λαχίστȣ *(sic)* ἱεροθέȣ ἱερομονάχȣ τω ἐπίκλη μȣ́σȣρας :

I. Continet hic codex Prolegomena in Psalmorum interpretationem, quæ sunt instar Catenæ contextæ ex plurium Patrum præfationibus in Psalmos. Sed quisnam fuerit Catenæ auctor, ignoro: nam librarius initio quasdam chartas reliquit non scriptas, itaque deest initium: quia scilicet, ut opinor, mutilus erat codex quem exscribebat. Prima pagina scripta sic incipit: Τȣ̃το γὰρ πάλιν ὅμοιόν ἐστι τȣ̃ λεγομένȣ etc.

II. Pag. 14. post Catenam sequitur Theodoreti Interpretatio in Psalmos. Tit. Τȣ̃ μακαρίȣ Θεοδωρήτȣ ἐπισκόπȣ κύρȣ, ὑπόθεσις εἰς τȣ̀ς ψαλμȣ̀ς, κ̀ ἑρμηνεία : — Initium : Ἐμοὶ μὲν πρὸ τῶν ἄλλων θείων λογίων. Absolvitur pag. 264, ubi hæc addit Catenæ auctor : Πεπλήρωται τȣ̃ μακαρίȣ Θεοδωρήτȣ ἐπισκόπȣ κύρȣ ἡ εἰς τὸ ψαλτήριον ἑρμηνεία πᾶσα· τελείως : — Tum statim hæc subjungit : Ἰστέον, ὡς πᾶσαν τȣ̃ ψαλτηρίȣ τὴν ἑρμηνείαν προγράψαντες, ἐνταῦθα τῶν δοκȣ́ντων ἀπόρων τὴν μετάφρασιν ἐξεθέμεθα : — Tum sequuntur interpretationes in varios Psalmos, aut Psalterii loca desumptæ, primæ quidem ex S. Athanasio, secundæ ex S. Basilio (pag. 270. codicis), tertiæ (pag. 282.) e Gregorio Nysseno, quartæ (pag. 284.) e Chrysostomo, quintæ (pag. 293.) ex Cyrillo Alexandrino, sextæ (pag. 305.) ex epistolis S. Isidori Pelusiotæ.

III. Pag. 312. sequitur Interpretatio Odarum, seu Canticorum; quæ cujus sit auctoris, magna ex parte se fatetur Collector nescire. Tit. Ἑρμηνεία πασῶν τῶν ᾠδῶν : — Ὑπόθεσις ᾠδῆς πρώτης τȣ̃ ἁγίȣ Μωυσέως, ἀνώνυμος : — Initium : Θείᾳ χάριτι σοφισθεὶς ὁ μακάριος Μωσῆς. Nonnullorum ex hisce Canticis interpretationes contextæ sunt ex Cyrilli, ac Theodoreti fragmentis.

SAN-

SANCTI PATRES.

XXXVIII.

Veterum membranarum simul colligatarum fasciculus, quæ e variis codicibus excerptæ, et diversis seculis scriptæ sunt.

μὴ ἐν τῇ οἰκουμένῃ φέρεται. εἰ δὲ καί τινα οὐ φέρεται, οὐδὲν θαυμαστόν· πολλὰ γὰρ ἐν λήθῃ κ) ἀλλοιώσει γεγόνασιν, ἐξ ἀμελείας κ) τῆς ἐπιμιξίας τῶν βαρβάρων· ὡς ἐν τοῖς ἤδη ῥηθεῖσι βραχέσι ῥήμασιν ἀποδέδεικται· πόσα γὰρ ὀνόματα πετεινῶν· ἑρπετῶν· τετραπόδων· φυτῶν· ἰχθύων ζωϋφίων τε κ) κνωδάλων· κ) τῶν λοιπῶν τῶν ἐν τῷ κόσμῳ οὐκ οἴδαμεν; πῶς οὖν ἀκούσαντες ἐν τῇ γραφῇ ταῦτα νοήσωμεν; κ) γὰρ καταρχὰς τὰ ὀνόματα ἐτέθησάν τε κ) διωρίσθησαν ἑκάστῳ εἴδει τῶν κτισμάτων· διὰ τὴν χρῆσιν κ) ὠφέλειαν τὴν ἐξ αὐτῶν· κ) τὰς διαφόρους ἐνεργείας· ἐκάλεσε γάρ φησιν ἀδὰμ ὀνόματα πᾶσι τοῖς κτήνεσι· κ) πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ· κ) πᾶσι τοῖς θηρίοις τῆς γῆς. ἀλλὰ κ) σολομῶν· οἶδεν ἀστέρων θέσεις· κ) φυτῶν φύσεις κ) βοτανῶν. ἔστι δ' ὅτε κ) οἱ τηλοῦ τῶν ἀγρῶν οἰκοῦντες· ἑλληνικώτερόν τε κ) τεχνικώτερον λαλοῦντες τῶν ἀστυκῶν ἐξ ἁπλότητος· οἱ γὰρ κατὰ τὰς πόλεις· ἐκ κενοδοξίας· εἰς τὸ εὐσχημονέστερον βουλόμενοι μεταγαγεῖν τὰς λέξεις, μᾶλλον φθείρουσι· κ) τοὺς κωμήτας κ) ἀγροίκους ἀλόγως σκώπτουσι κ) μυκτηρίζουσι· ὁμοίως κ) τοῖς ἀλλοδαποῖς ἐπιγελῶσι· κ) ἔθνος, ἔθνει ἑτέρῳ· κ) πόλις, πόλει, ὅτι οὐ ταὐτὰ λαλοῦσι· μὴ εἰδότες ἃ διαβεβοῦνται. ταῦτα δὲ πάσχουσιν ἐξ ἀμαθίας ὡς εἴρηται· ὁ γὰρ θεὸς ἐξαρχῆς τελείας κ) τεχνικὰς διένειμε τὰς διαλέκτους ἐν τοῖς ἔθνεσιν, ὡς δέδεικται. μετὰ δὲ ταῦτα, οὕτω κατεστάθησαν· οὐ μόνον γὰρ ἡ ἡμετέρα διάλεκτος οὕτως ἠλάττωται καὶ ἠλλοίωται· ἀλλὰ κ) τῶν λοιπῶν ἐθνῶν. κ) τούτων μὲν, μᾶλλον ἠλάττωται· ἠλλοίωται δὲ μᾶλλον ἡ ἡμετέρα, διὰ τὴν διασπορὰν τὴν γενομένην εἰς διαφόρους τόπους· τὰ γὰρ λοιπὰ ἔθνη οὐκ εἰσὶν οὕτως ἐξηπλωμένα εἰς διαφόρους ἐπαρχίας τε κ) πατριὰς· ὅθεν κ) ἡ γραφὴ παρ' αὐτοῖς ἁπλουστέρα· ἀλλ' οὐχὶ κ) ποικίλη κ) δαψιλὴς ἐν ταῖς λέξεσι· διὰ τὸ στενὸν τῆς γλώσσης· ὅπερ συνέβη αὐτοῖς διὰ τὸ τῶν χωρῶν ἀνεπιτήδειον. οὐδεμία δὲ ἡ ἐντεῦθεν βλάβη· κἂν ἐκ τῆς μερικῆς εἴπῃς ἐναλλαγῆς· κἂν ἐκ τῆς γενομένης καθόλου ἐπὶ τῆς πυργοποιΐας· ὥσπερ γὰρ διὰ τῶν διαφόρων αὐτοῦ ποιημάτων δοξάζεται ὁ θεὸς, οὕτω δὴ κ) ἐκ τῶν διαφόρων διαλέκτων· κ) γὰρ τὸ πολύτροπον, τῶν τρεπτῶν ἴδιον. εἰ δέ τις ἐρεῖ, ὅτι διὰ τὸ διάφορον τῆς γλώσσης αἱ ἀλλεπάλληλοι μάχαι κ) οἱ πόλεμοι, ψεῦδος ἐρεῖ δήπουθεν· οὐκ εἰδὼς τῶν ἑλλήνων τοὺς ἐμφυλίους πολέμους, ὡσαύτως κ) τῶν βαρβάρων· μᾶλλον δὲ διὰ τὸ διαφέρειν ἡμᾶς κατὰ τὴν διάλεκτον, ἕκαστος ἐν τοῖς ὅροις μένει τοῖς ἰδίοις· μισῶν τὴν ἀλλοδαπήν. πᾶν οὖν ἀγαθὸν ἐκ θεοῦ· ὥσπερ τὸ ἐναντίον ἐκ τοῦ ἀντικειμένου. οὐκοῦν, μανθάνειν χρὴ τὴν ἰδίαν διάλεκτον κ) μὴ ὀλιγωρεῖν· ἢ μέμφεσθαι τῶν συγγραφέων· ἐπείπερ οὐκ ἦν ἄλλως γράφειν, εἰ μὴ κατὰ τὴν ἀρχαίαν διάλεκτον. κ) γὰρ εἴπερ ὡς οἱ ἀμαθεῖς νομίζουσιν ἐξέδωκαν τὸ εὐαγγέλιον· κ) τἆλλα κατὰ τὴν ἑκάστης χώρας κ) πόλεως διάλεκτον· ὥστε νοεῖν

αὐτὰ

αὐτὰ ἅπαντας, τὸ ἓν εὐαγγέλιον κατὰ ἐναλλαγὴν τῶν διαλέκτων, γέγονεν ἂν ἑκατόν· εἶτα μετὰ χρόνον τινὰ τῶν διαλέκτων μεταβαλλομένων, ἐχρῆν καὶ τὰ εὐαγγέλια μετάβαλλεσθαι· κ̀ μὴ δέχεσθαι τόπον ἐκ τόπȣ εὐαγγέλιον, εἰ μὴ διαγραφείη ἅπερ ἐγγεγραμμένα ἐν αὐτῷ καθ᾽ ἑτέραν διάλεκτον· κ̀ ἕτως εἰς μυρία εἴδη τμηθῆναι τὴν γραφήν· μᾶλλον δὲ ἀφανισθῆναι. κ̀ πῶς ἔνι φησὶ μαθεῖν με; δυνατόν· ὡς ἔμαθες παρὰ τȣ̃ εἰδότος, ἀναγινώσκειν, ἕτω δὴ κ̀ τὸ γινώσκειν· κ̀ γὰρ ἀναγνωρισμός τίς ἐστιν ἡ ἀνάγνωσις. ἀλλὰ χρόνȣ φησὶ δέομαι· ἀλλὰ δαπάνης. τί ἕν; ἐν παιδιαῖς βέλτιον ἀναλίσκειν τὸν χρόνον; ἐν μέθαις; ἐν αἰσχρολογίαις κ̀ ἀργολογίαις; ἐν ὕπνοις; ἐν ὀρχήστραις; ἐν θεάτροις; τί δὲ κ̀ τὰ χρήματα· ἐν τῷ καταχωννύειν ἢ δαπανᾷν ἐν κώμοις; ἐν βρώμασι περιττοῖς; ἐν ἱματίοις; ἐν τοίχοις; ἐν ἵπποις κ̀ κυσίν; ἀπόδος τι μέρος κ̀ τῇ ψυχῇ· ȣ̓ λέγω σοι δὸς ἅπαντα τὸν βίον τῷ διδασκάλῳ· δὸς τὸ δέκατον· μᾶλλον πολλοστόν τι τȣ́τȣ. ὅσον ἂν δαπανήσῃς ἐν ἱματίῳ νυμφικῷ· τοσȣ̃τον ἐν ψυχικῷ· ȣ̓ γὰρ πένητες ἅπαντες· ȣ̓κ ἔμποροι· ȣ̓ βοηλάται κ̀ ὀνηλάται, ἵνα λέγωμεν ȣ̓ δυνάμεθα, πολλῶν ἐμποδὼν ὄντων· μὴ γὰρ νῦν ἐπληθύνθη ἡ πτωχεία· ἐξαρχῆς ἕτως ἦν. ȣ̓κ ἰωάννης ὁ δαμασκηνὸς παρ᾽ αἰχμαλώτῳ διδασκάλῳ ἐφοίτα; ȣ̓ παρὰ μονῇ ᾤκει παρὰ τῶν βαρβάρων ἐμπρησθείσῃ; ȣ̓ βάρβαροι κ̀ ἄσπονδοι τὴν χώραν κατεῖχον; πόθεν εὗρε τοσαῦτα βιβλία τῆς ἔξω κ̀ τῆς καθ᾽ ἡμᾶς σοφίας; ὧν μέμνηται ἐν τοῖς αὐτȣ̃ συγγράμμασιν. ἢ δῆλον, ὅτι πολλὴ ἦν ἡ σπȣδὴ παρὰ τοῖς κατ᾽ ἐκεῖνο καιρȣ̃ ἐν τοῖς λόγοις· ἀλλ᾽ ȣ̓χὶ νῦν. κατάμαθε ἐκ τȣ̃ παλαιȣ̃ νόμȣ· ὅπως οἱ ἱερεῖς κ̀ οἱ λευῖται· ὑπηρέται ὄντες τȣ̃ νόμȣ· ἤτοι τȣ̃ λόγȣ κ̀ τȣ̃ ναȣ̃, ἐκ τῶν ἀδελφῶν αὐτῶν μετ᾽ εὐπορίας εἶχον ἅπασαν ζωάρκειαν· ἔκ τε τῶν δεκατῶν δηλαδή· ἐκ τῶν πρωτοτόκων· ἐκ τῶν ἀπαρχῶν· ἐκ τῶν θυσιῶν, ἐκ τῶν δώρων· ἐνταῦθα δὲ, τȣ̓ναντίον ἅπαν γίνεται. οἱ μὲν λόγȣ μετέχοντες, ἑστήκασι κάτω, πάντων ἀπορȣ̃ντες· ὅσοι δ᾽ ἀγύρται κ̀ δȣλοπρεπεῖς, εἰς θρόνȣς ἀνάγονται· κ̀ χρήματα πάντοθεν ἀποθησαυρίζȣσιν εἰς δέον ȣ̓δέν· ȣ̓ θέλȣσιν ἰδεῖν φιλοσοφȣ̃ντα· ἔλεγχον τȣ̃το νομίζοντες τῆς ἑαυτῶν ἀνομίας· λήρȣς ἀποκαλȣ̃σι τȣ̀ς τοιȣ́τȣς· ἀκαταστάτȣς· ἀνυποτάκτȣς· ὀλιγοψύχȣς· ὅτι τȣ́τοις ȣ̓χ ὑποτάσσονται ἐν ταῖς μωρίαις αὐτῶν. ȣ̓κ ἀρκεῖ αὐτοῖς περιπατεῖν ἐν σκότῳ, ἀλλὰ κ̀ ἑτέρȣς βιάζονται. εἰ δέ πȣ τὶς κ̀ τῶν ἡγȣμένων εὑρεθείη εὐγνώμων· κ̀ προθυμεῖται ἀναπαῦσαί τινα τὸν μᾶλλον εἰδότα, πάντες σκανδαλίζονται ἐπὶ τȣ̃το μᾶλλον ἢ ἐπ᾽ ἄλλό τι· κρίνȣσι· φθονȣ̃σι· συγχέονται· ἵνα τί τȣ̃το λέγοντες· τί ȣ̃τος ἡμῶν ὑπερέχει, ὅτι ȣ̃τως ἀξιȣ̃ται· τοιȣ̃τός ἐστι κ̀ τοιȣ̃τος· τὰ ἑαυτῶν ἀφέντες ἅπαντα, μόνον τὰ τȣ́τȣ περιεργάζονται· τὰ αὐτȣ̃ φανταζονται ἐλαττώματα· ἐνεδρεύȣσιν ὡς δύσχρηστον αὐτοῖς κ̀ ἐναντίον· ἔσθ᾽

ὅτε κ̀

ὅτε κ̓ ἐνώπιον αὐτȣ̃ κατηγορȣ̃σι· κ̓ πάντα ποιȣ̃σι μέχρις αὐτὸν ἀνάστατον ποιήσȣσιν. εἶτα ἐπιγελῶσι λέγοντες· ὁρᾷς τὸν ἀκατοίκητον; ȣ̓́τω διὰ τὸ εἶναι αὐτὸν τοιȣ̃τον κ̓ τοιȣ̃τον, ὅπȣ περ ἀναπέλθῃ, ȣ̓ κατοικῆσαι ἔχει· κ̓ ἀντὶ τȣ̃ εἰπεῖν αὐτῶν τινα· εἴθε ἠδυνάμην αὐτὸν ἀναπαῦσαι, φησὶ μετ' ἐμβριμήματος· εἴθε εἶχον αὐτὸν ἐν σιδήροις· ἐν κώπῃ· ἐν εἱρκτῇ· εἴπερ ἐξȣσίαζον αὐτȣ̃, εἶχον ἂν αὐτὸν παιδεῦσαι μὴ μεταβαίνειν. φεῦ τῆς ἀποτομίας κ̓ ἀπανθρωπίας. τίς ȣ̓ μελαγχολήσει ἀκȣ́ων ταῦτα; διὰ ταῦτα ὀλίγοι κ̓ κακοί εἰσιν οἱ δοκȣ̃ντες μετέχειν λόγȣ. ἀλλὰ καί τινα τῶν μοναστηρίων· λελωβημένȣς λαμβάνȣσι κ̓ νοσοκομȣ̃σι· καίτοι ἑνὸς ὄντος τȣ̃ λελωβημένȣ, εἰς ἕνα διαβαίνει κ̓ ἡ ὠφέλεια. τȣ̃ δὲ διδασκάλȣ ἑνὸς μὲν ὄντος· εἰς πολλȣ̀ς δὲ διαβαινȣ́σης τῆς ὠφελείας διὰ τῆς διδασκαλίας, ȣ̓ κήδονται. κ̓ ταῦτα ȣ̓δένα πόνον ἢ ὄχλον παρέχοντος τοῖς συμπαρȣ̃σιν· ȣ̓δεμίαν ζημίαν· ἀλλὰ κ̓ οἷον ἀπολογȣν * ὑβρίζοντες· οἴδαμέν φασιν, ὅτι πάντες οἱ αἱρεσιάρχαι γραμματικοὶ κ̓ ῥήτορες ἦσαν. ἀλλὰ καὶ τȣ̃το σύνες ὦ ἀλόγων σοφώτατε· ἐπεὶ κ̓ τῷ μέρει τȣ́των προστίθῃ· τίνες ἦσαν οἱ πειθόμενοι τοῖς αἱρεσιάρχαις; κ̓ τίνες οἱ ἐν λόγοις καταβάλλοντες; τίνων τὰ ὑπομνήματα· δι' ὧν ταῦτα γινώσκεις ἃ φῄς· τίνες δὲ κ̓ οἱ καθ' ἑκάστην ἐξομνύμενοι χριστὸν· κ̓ τῷ μωάμεθ προσκολλώμενοι; μᾶλλον δὲ ȣ̃τος αὐτὸς· ποίας παιδεύσεως κ̓ σοφίας μετείληχεν, ὅτι τοιαύτης κ̓ τηλικαύτης αἱρέσεως γέγονεν ἀρχηγός· τί δὲ κρεῖσσον; εἶναι καλȣ̀ς κ̓ κακȣ̀ς· ἢ ἅπαντας κακȣ̀ς κ̓ ἀθέȣς; ὥς τινα ἔθνη περί πȣ τὰ ἔσχατα τῆς γῆς· βάρβαρα κομιδῇ κ̓ ἄλογα· κ̓ γραμμάτων ἀδαήμονα. εἰ καλὸν ἡ ἀμαθία, τί κ̓ ὅλως γράμματα μανθάνεις; εἰ γὰρ τὸ μὴ γινώσκειν τὰ διὰ τȣ́των λεγόμενα, καλὸν· τὸ μὴ μανθάνειν ὅλως, κάλλιστον· τȣ̃ γὰρ κακȣ̃ μᾶλλον ἀπέχεσθαι ἀσφαλέστερον. κ̓ εἰ τȣ̃το ȣ̓́τως ἔχει, πῶς ȣ̓κ ἄδικόν σε κρινῶ, ὅτι πολλάκις κρίνεις μεμφόμενος κόλχȣς κ̓ ἀβασγȣ̀ς, ὅτι ȣ̓ γραικίζȣσιν· ἀλλόγλωσσοι ὄντες· ὥσπερ ἂν εἰ ἐμέμφȣ κ̓ ἑλληνιστὰς, ὅτι ȣ̓ βαρβαρίζȣσιν. ἀλλὰ τίνι σε παρεικάσω· εἰ μὴ πιθήξι· κ̓ ὀρνίοις τισὶν· ἃ κ̓ ἀνθρώπων ἦθός τε κ̓ φωνὴν μιμȣ̃νται· ȣ̓κ οἴδασι δὲ τὰ δρώμενα· διὸ κ̓ ἁλίσκονται πολλάκις ὑπὸ τῶν πανȣ́ργων, τοῖς ἰδίοις μιμήμασι. κ̓ γὰρ κ̓ αὐτὸς γράμματα μὲν μανθάνεις· ȣ̓κ οἶδας δὲ διατί· ὅθεν κ̓ γράφων κ̓ ἀναγινώσκων, ἁλίσκῃ ἁμαρτάνων ὑπὸ τῶν τυχόντων· ἵνα μὴ εἴπω ὑπὸ σεαυτȣ̃. ποίησον γραφὰς ἰδίας, ἐπεὶ τὰς παλαιὰς ἀθετεῖς· ἔχε διδάσκαλον τὸν καρτάνον· ὡς κ̓ ἔχεις. πολλάκις δὲ κ̓ μυκτηρίζȣσι τȣ̀ς γραμματικȣ̀ς· διδάσκοντας τȣ̀ς παῖδας τὰς κλίσεις τῶν ὀνομάτων τε κ̓ ῥημάτων· τί τȣ̃το λέγοντες· ἄλλα γράμματα; ναὶ· ἄλλα γράμματα· ἐπεὶ κ̓ ἄλλο τὸ ἀλόγως γνωρίζειν· κ̓ ἄλλο τὸ σὺν ἐπιστήμῃ γινώσκειν αὐτά· ȣ̓ γὰρ τοσȣ̃τον θαυμάζομεν τὸν εἰδότα βο-

τάνην ἀπλῶς, ὡς τὸν εἰδότα κ̀ τὴν ἐνέργειαν αὐτῆς· ἐδὲ τὸν σαλπίζοντα ἀδήλως, ἀλλὰ τὸν εὐσήμως, ἀποδεχόμεθα. εἰπέ μοι εἰ παιδίον· ἢ ἄλλος τις τῶν μὴ γινωσκόντων γράμματα, εἶπέ σοι· τί ἐστὶ τὸ ἄλφα ὅπερ μοι λέγεις· κ̀ τί τὸ βῆτα; ξένα γάρ μοι δοκεῖ τὰ ὀνόματα· τί εἶχες ἀποκριθῆναι· εἰ μὴ ὅτι ἐκ ἔστι καιρὸς νῦν περὶ τέτων· πεῖθε δὲ μόνον ἀκέων. ἕτω δεῖ νοεῖν κ̀ ἐπὶ πάσης τέχνης· προσελθεῖν δεῖ τῷ ἐπιστάτῃ· κ̀ πειθόμενον, καταβραχὺ μανθάνειν· ἐὰν προσέλθῃς γραμματικῷ, δεῖξαί σοι ἔχει, διὰ τί ἐ πάντοτε λέγομεν παῦλος· ὅταν δέῃ τι περὶ τέτε εἰπεῖν· ἀλλὰ κ̀ παύλε· κ̀ παύλῳ· κ̀ παῦλον. οἷον ἐν ὑποδείγματι· ὁ δὲ παῦλος εἶπε πρὸς αὐτὲς· κ̀ πάλιν· ἐν δὲ ταῖς ἀθήναις ἐκδεχομένε αὐτὲς τε παύλε· κ̀ ἐν ἑτέρῳ· εἶπε κύριος δι᾽ ὁράματος ἐν νυκτὶ τῷ παύλῳ· κ̀ πάλιν· ἐπαύσαντο τύπτοντες τὸν παῦλον· κ̀, θάρσει παῦλε. τοιαύτη ἡ διαφορὰ κ̀ ἐν τοῖς λοιποῖς ὀνόμασιν· ὥσπερ δὴ κ̀ ἐν τοῖς ῥήμασιν· οἷον· ἀμὴν ἀμὴν λέγω ὑμῖν· κ̀ ἐν ἑτέρῳ· σὺ τί λέγεις περὶ αὐτε, ὅτι ἤνοιξέ σε τὲς ὀφθαλμὲς· κ̀ ἐν ἑτέρῳ εὐαγγελιστῇ· πῶς λέγεσι τὸν χριστὸν ὑὸν δαυὶδ εἶναι· κ̀ αὐτὸς δαυὶδ λέγει ἐν βίβλῳ ψαλμῶν. ἐ μόνον δὲ τὲς γραμματικὲς μυκτηρίζεσιν ἐνίοτε, ἀλλὰ καὶ ἀλλήλες· ἔν τε τῷ λέγειν κ̀ γράφειν· ἕτω γὰρ οἶδεν ἡ πονηρία· μὴ δὲ καθ᾽ αὐτὴν συμφωνεῖν. οἷον τί λέγω· συκῆ τὸ φυτόν· κ̀ σικία τὸ ἰατρικὸν ἐργαλεῖον. χλευάζεσιν ἒν κ̀ διασύρεσι τὰ ὀνόματα διὰ τὴν παρήχησιν· μὴ γινώσκοντες τὴν τῶν στοιχείων διαφοράν. ἕτως ἒν διακείμενοι, κ̀ τε θεε καταλαζονεύσονταί ποτε· λέγοντος πρὸς ἀβραάμ· ἐκέτι κληθήσεται τὸ ὄνομά σε ἄβραμ· ἀλλ᾽ ἀβραὰμ ἔσται τὸ ὄνομά σε, ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. κ̀ περὶ τῆς γυναικὸς αὐτε· ἐ κληθήσεται τὸ ὄνομα αὐτῆς σάρα ἀλλὰ σάρρα· τί γὰρ διαφέρει κατ᾽ αὐτὲς· ἕτως ἢ ἕτως γραφόμενα τὰ ὀνόματα. ταῦτα ἒν ἡμεῖς διεξήλθομεν ἀναγκαζόμενοι ὑπὸ τῶν ἀλογίστων· μᾶλλον δὲ, ἐλεεντες αὐτὲς τῆς κεφότητος. ὁ δὲ κύριος ἡμῶν ἰησες χριστὸς, ὁ λόγος κ̀ ἡ δύναμις κ̀ σοφία τε θεε κ̀ πατρὸς, αὐτὲς μὲν ἐξέλοιτο τῆς τοιαύτης πλάνης κ̀ ἐρεσχελίας· ἀναισθησίας τε κ̀ οἰήσεως· ἡμῖν δὲ δώῃ πόρον ἐξ ἀπόρων· ἵν᾽ ἐν ἡσυχίᾳ κ̀ εὐσεβείᾳ κ̀ σεμνότητι διαγαγόντες τὸν παρόντα βίον, ἀνταλλαξώμεθα τὴν ὄντως μακαρίαν ἐν αὐτῷ ζωήν· ᾧ ἡ δόξα κ̀ ἡ παρὰ πάντων προσκύνησις σὺν πατρὶ κ̀ τῷ θείῳ αὐτε πνεύματι· νῦν κ̀ ἀεὶ, κ̀ εἰς τὲς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Nonnulla alia ex eodem codice heic subiungo ad Cartanum quemdam Corcyræum, ſtolidum atque obscurum impoſtorem spectantia.

περὶ καρτανιτῶν αἱρετικῶν.

Καρτανῖται οἱ κ̀ ἰωαννικιανοί· ἕτοι τῷ θρόνῳ μὲν κωνσταντινεπό-

νυπόλεως δοκῦσιν ὑποκεῖσθαι· δίχονται δὲ οἱ μὲν λαθραίως· οἱ δὲ κ̀ φανερῶς τὰ τῦ ἰωαννικίυ τῦ καρτάνυ συγγράμματα. ἐξ ὗ κ̀ τὴν ἐπωνυμίαν ἔσχον. ὃς ἐκ κερκύρας μὲν ὥρμητο· ἐδογμάτισε δὲ πλεῖστα τῶν τε προδιεφθαρμένων αἱρέσεων, κ̀ τῶν μηδέπω ἐξευρημένων. κ̀ γάρ τὸν θεὸν χάριν ὀνομάζει· φησὶ δὲ τὸν θεὸν καταρχὰς πεποιηκέναι ὕλην τινὰ παχεῖαν μὲν· ἀτύπωτον δὲ κ̀ ἄστατον· ἐξ ἧς ἄνθρωπον κ̀ τὰ λοιπὰ ἐδημιύργησεν ἐν τύπῳ· τοῖς τέσσαρσι στοιχείοις κρατύμενα· κατὰ δὲ τὴν πλείω ἐπικράτειαν ἑκάστυ στοιχείυ, τὸ μὲν τῶν ζώων εἶναι μέλαν· τὸ δὲ λευκὸν· κ̀ τὸ μὲν μεῖζον, τὸ δὲ ἔλαττον. κ̀ τὸ μὲν θυμῶδες, τὸ δὲ πρᾶον. πανταχῦ δὲ ἀντὶ δημιυργίας τὴν προσηγορίαν γεννήσεως κ̀ ἐκπορεύσεως λαμβάνει· κἀντεῦθεν ὅμοια τῷ ποιήσαντι εἶναι τὰ ποιήματα ἀποφαίνεται. ἄνθρωπόν τε κ̀ ψυχὴν ἐξ ὐδενὸς ἐν ἑτέρῳ κεφαλαίῳ φησὶ τὸν θεὸν πεποιηκέναι· πῶς δὲ τῦτο, διασαφηνίζων, φησίν· ὅτι διὰ τῦ ἀγγελικῦ λόγυ συνέλαβε τὸν θεὸν ἡ παρθένος· κ̀ ἐποίησε τῦτον τὸν θεὸν, κ̀ ἄνθρωπον· ἔργυ φύσεως ἄνευ. κ̀ τῦτον εἶναι ἐκεῖνον τὸν αἰώνιον κ̀ ἄναρχον κ̀ ἀτελείωτον ἄνθρωπον. ἔτι φησὶν, ὅτι διωχθέντες ὑπὸ θεῦ οἱ ἁμαρτήσαντες ἄγγελοι, ἦλθον εἰς τὴν ἄβυσσον· ἐφ᾽ οἷς κ̀ ἔβρεχε διὰ τὴν αὐτῶν αὐθάδειαν ἡμερόνυκτα ἐννέα· κ̀ τῦτό φησίν ἐστιν ὃ λέγει ἡ γραφή· κ̀ διεχώρισεν ὁ θεὸς ἀναμέσον τῦ φωτὸς κ̀ ἀναμέσον τῦ σκότυς· ἤτοι τὺς καλὺς ἀγγέλυς ἀπὸ τῶν κακῶν. ἔτι φησίν· ὅτι ζῶον ἅπαν συλλογίζεται· κ̀ τὸ παράδειγμα, ἐκ τῦ μύρμηκος. πᾶν δὲ πρᾶγμα· ἤτοι δένδρα· πέτραι· λάχανα· ὕδωρ· πῦρ· γῆ, μιγνύμενα κ̀ μεταφυτευόμενα αὔξει· ἐπεὶ κ̀ ἔμψυχα. ἔτι φησὶ κατά τινας ἐν τῷ ὐρανῷ πλασθῆναι τὸν ἀδάμ· καθ᾽ ἑτέρυς δέ φησιν, εἰς τὰ μέρη αἰγύπτυ· ἐν τῷ πεδίῳ τῆς δαμασκῦ· κἀκεῖθεν μετατεθεῖναι εἰς τὴν ἰνδίαν. ὅπυ κ̀ ὁ παράδεισος. ἔτι φησίν· ὅτι ὁ διάβολος γέγονεν ὄφις ἔχων ἀνθρώπυ πρόσωπον, κ̀ ὕτως ἠπάτησε τὺς προπάτορας· κ̀ ὅτι ὥσπερ ὁ διάβολος γέγονεν ἄνθρωπος, κ̀ ἠπάτησε τὴν εὔαν, ὕτω κ̀ ὁ θεὸς γέγονεν ἄνθρωπος ἐκ γυναικείας μήτρας κ̀ ἔσωσεν ἡμᾶς ἅπαντας. ἔτι φησίν· ὅτι μετὰ τὴν ἐκ τῦ παραδείσυ ἐξορίαν βυληθέντες οἱ πρωτόπλαστοι ὑπὲρ τῆς ἰδίας ἁμαρτίας νηστεῦσαι, ἐπειράσθησαν ὑπὸ τῦ διαβόλυ· ἐρωτηθεὶς δὲ ὁ διάβολος ὑπὸ τῦ ἀδὰμ τίνος χάριν πειράζει αὐτὺς, ἀπελογήσατο· ὅτι σῦ πλασθέντος ὑπὸ θεῦ, προσετάχθησαν παρ᾽ αὐτῦ ἅπαντες οἱ ἄγγελοι μετὰ τῦ μιχαὴλ, ἔμπροσθέν συ στῆναι εἰς προσευχὴν κ̀ προσκυνῆσαί σε ὡς εἰκόνα αὐτῦ· ὃ κ̀ ἐποίησαν· προσταχθέντος δὲ κἀμῦ τῦτο ποιῆσαι μετὰ τῶν σὺν ἐμοὶ· κ̀ μὴ ποιήσαντος, ἀλλὰ τὐναντίον ζητήσαντος τὴν παρὰ σῦ προσκύνησιν· ἐπεὶ κ̀ πρότερός συ ἐγενήθην, κ̀ ὅμοιος γενέσθαι θεῷ καυχησάμενος, ἐδιώχθην παρὰ θεῦ διὰ τῶν ἀγγέλων αὐτῦ ἐκ προσώπυ τῆς γῆς· εἰς τὸν ᾅδην. ἔτι

φησίν· ὅτι ἀποσταλεὶς ὁ μιχαὴλ μετὰ ἅρματος ἐξ ἀνέμȣ· ȣ̓ οἱ τροχοὶ πύρινοι, ἔλαβε τὸν ἀδὰμ ἐπ' αὐτȣ̃ εἰς τὸν παράδεισον· ἐνώπιον τȣ̃ θεȣ̃· ȣ̓ τὸ πρόσωπον λίαν ἀνήπτετο. ἔτι φησίν· ὅτι τῷ χριστῷ γεννηθέντι κατῆλθεν ȣ̓ρανόθεν ἱμάτιον· ϗ τȣ̃τό φησίν ἐστιν ὃ λέγει ὁ εὐαγγελιστὴς χιτῶνα ἄῤῥαφον. ἐφ' ȣ̓ ϗ ἡ τȣ̃ θεȣ̃ δύναμις ἔπεσεν. ἔτι φησίν· ὅτι ἔσω τȣ̃ φαινομένȣ ȣ̓ρανȣ̃ εἰσὶν αἱ δυνάμεις τῶν ȣ̓ρανῶν· ϗ αἱ ψυχαὶ τῶν δικαίων· εἰς τὸν ἀρχὴν δὲ, μόνον εἰσελθεῖν τὸν χριστόν. ἔτι φησίν· ὅτι ἔκ τινων βιβλίων τῶν ἐν τῷ δεσποτάτῳ τῆς ῥωμανίας παρά τινων πεφυλαγμένων· ἐχόντων τὰς γενεαλογίας ἁπάντων, ἔλαβον οἱ εὐαγγελισταὶ τὴν γενεαλογίαν τȣ̃ ὑȣ̃ τȣ̃ θεȣ̃. ἔτι φησίν· ὅτι ὁ ἄγγελος εἶπε πρὸς τὴν παρθένον· γίνωσκε ὅτι τὸ ἅγιον πνεῦμα ἔνε μετὰ σȣ̃· ϗ αὐτὸ σαρκωθήσεται ἐν σοί· ϗ γενήσεται ἄνθρωπος· ϗ καλέσεις αὐτὸν ἐμμανȣήλ· ϗ σώσει τὸ γένος τῶν χριστιανῶν ἐκ τῶν χειρῶν τȣ̃ διαβόλȣ· ϗ ὅτι ὅλη ἡ ἁγία τριὰς ἐσαρκώθη· διὰ τὸ ὅμοιον τῶν τριῶν ϗ ἀχώριστον. ἔτι φησίν· ὅτι οἱ ἐξ ἀνατολῆς ἐλθόντες μάγοι εἰς προσκύνησιν τȣ̃ χριστȣ̃· ὁ μὲν θεάσαντο (sic) αὐτὸν ὡς νήπιον ἐνιαυτȣ̃· ὁ δὲ ὡς ἄνδρα τριακονταετῆ· ὁ δὲ ὡς γέροντα πεπαλαιωμένον. ϗ ὅτι ἔτι παιδίον ὢν ὁ κύριος σημεῖα ἐποίησε· νεκρὸν γὰρ ἀνέστησε· ϗ ἐπάνω τῶν ἀκτίνων ἐπωχεῖτο τȣ̃ ἡλίȣ· ϗ ἐπὶ τȣ̃ ἱματίȣ ὕδωρ προσέφερε τῇ μητρί· ϗ ξύλον τανύσας, μεῖζον ἐποίησε χρείας ȣ̓σης· ϗ στρȣθία ἔμψυχα ἐκ πηλȣ̃ κατεσκεύασεν. ἀλλὰ τίς ἂν ἕκαστα τὰ τȣ̃ καρτάνȣ καταλέγοι βλάσφημα; σχεδὸν γὰρ ȣ̓δὲν ὀρθὸν ἐν τῇ λαοπλανεῖ αὐτȣ̃ βίβλῳ φέρεται.

τȣ̃ αὐτȣ̃ (nempe παχωμίȣ μοναχȣ̃)
περὶ τῆς τῶν καρτανιτῶν αἱρέσεως.

Ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἀνεφάνη ϗ ἡ τῶν καρτανιτῶν πολυκέφαλος αἵρεσις· καρτᾶνος γάρ τις κερκυραῖος· τὸ σχῆμα μοναχὸς· τὴν ἀξίαν δῆθεν ἱερεὺς· δι' ἐμπορίαν εἰς ἀκυληΐαν στελλόμενος· κἀντεῦθεν εἰς αἰσχρȣργίας ἐμπεσὼν, ἐνεβλήθη εἰς φυλακήν· χρόνον δὲ συχνὸν ἐν αὐτῇ διαμείνας· ϗ μὴ ἔχων ὅτι ϗ δράσειεν εἰς ἀπαλλαγήν, ἀποκρύφοις τισὶ βιβλίοις ἐντυχὼν· οἷς ἐχρῶντό ποτε κατὰ τὸν ἅγιον ἐπιφάνιον, σεβηριανοὶ ϗ αὐδιανοί· ἀλλὰ ϗ τοῖς παιδικοῖς ἃ μανιχαῖοι συνέταξαν· ἵνα τὸ κατὰ φαντασίαν εἶναι τὴν τȣ̃ κυρίȣ σάρκωσιν ἀποφήνωσι· ϗ ἑτέροις πλείστοις αἱρετικοῖς λογυδρίοις· ἤδη ἐξιτήλοις γενομένοις διὰ τῆς τῶν πατέρων διδασκαλίας· ἐξ ἑαυτȣ̃ τε πλεῖστα ἅπερ τὸ πονηρὸν πνεῦμα ἐδίδαξεν ἐξευρὼν, συνέταξε βίβλόν τινα καινήν· ϗ τὴν φράσιν βάρβαρον ϗ ἀσυνήθη· ϗ ταπολλὰ ἀσαφῆ· εἰ ϗ αὐτὸς ταύτην διασαφήνειαν ὡς φρυάττεται ȣ̓τως ἐπετήδευσε· πλὴν ὅτι τοῖς ἀπαιδεύτοις, ἁπλȣστέρα τε αὐτὴ μᾶλλον, ϗ εἰς βόθυνον κατάγειν καιριωτάτη· ὡς μὴ εἰδόσι τὰς θείας

γρα-

γραφὰς· κἀντεῦθεν ἅπασαν αὐτῶν τὴν ἔφεσιν ἐν αὐτῇ ἐκδιδᾶσιν· οὕτω τε αὐτὴν κατασκευάσας· κ) διὰ τῆς χαλκογραφίας μυριοπλασιάσας, σχεδὸν τοῖς πλείστοις ὄλεθρον αὐτόματον ἐνέσπειρεν· ὅσοις τε ἐν νήσοις, κ) ὅσοις ἐν ἠπείρῳ, τῇ ἑλλάδι χρωμένοις φωνῇ· ἥτις κ) μέχρις ἡμῶν ἔφθασε· μῖα μὲν πρῶτον· ὅθεν κ) διενοήθημεν ἐπιστεῖλαι τῷ ἐν ᾗ ἐπαρχίᾳ διῆγεν ὁ καρτᾶνος ἀρχιερεῖ· ἵν' ὡς λυμαιῶνα παραφυλάττηται· ἐπεὶ δὲ κ) δευτέρᾳ κ) τρίτῃ ἐνετύχομεν· τᾶ αὐτᾶ τύπᾶ· κ) τᾶ αὐτᾶ βορβόρᾶ κ) τᾶ πυρὸς ἀξίᾳ· φυλαττομένῃ παρὰ τῶν παρ' αὐτῆς ἑαλωκότων ὥς τι κειμήλιον· μᾶλλον δὲ σιπεδόνα κ) ἀφανισμὸν τῆς ἑαυτῶν ψυχῆς, συντόμως ταύτην διελθόντες· κ) γνῶντες ὅσην ἐναποκειμένην ἔχει τὴν βλάβην, ᾶκ ἀνεσχόμεθα ὅσον τὸ κατ' ἐμὲ μὴ ἀρίδηλον θεῖναι. διὸ κ) ἐκ τῆσδε τῆς βίβλᾶ τὰς μυσαρωτάτας αἱρέσεις· κ) ὅσα ψευδῆ κατά τε τῆς θείας γραφῆς· κ) τῶν ταύτης ὑποφητῶν ἐν τοῖς ἐπινοηθεῖσιν αὐτῷ κεφαλαίοις ἔγραψεν, ὧδε ὡς ἐν κεφαλαίῳ ἐθέμεθα· ἐκφεύγοντες τὸ αὐτᾶ πολυλόγον κ) βάρβαρον· κ) ἀνατρέποντες αὐτὰ, διὰ μετρίων ἀντιῤῥητικῶν ἀποδείξεων· κ) τᾶτο διὰ τᾶς πάντῃ ἀπείρᾶς τῶν ἐκκλησιαστικῶν δογμάτων.

αἱ τᾶ καταράτᾶ καρτάνᾶ αἱρέσεις καὶ
φληναφίαι, καὶ ἡ τᾶτων ἀνατροπή.

α. Ὅτι τᾶς τριαδικᾶς κανόνας τῷ δαμασκηνῷ ἰωάννῃ ἐπιγράφει· ᾶς μητροφάνην οἴδασι πάντες συντεταχέναι.

β. Ὅτι χάριν τὸν θεὸν ὀνομάζει: ἄγραφον δὲ τᾶτο, ἐπεὶ κ) ἀνοίκειον.

γ. Ὅτι κατὰ πλάτωνα etc.

CXXVI.

Codex chartaceus, in octavo, constans chartis 220, exaratus seculo XVI. Antiquus opusculorum ordo a bibliopego plane immutatus est, ut omnia sint extra suum locum.

I. Pag. 1. Tit. + παχωμίᾶ μοναχᾶ· κατὰ ἁγιοκατηγόρων· ἤτοι etc. ut cod. 125. num. 18.

II. Pag. 8. Fragmentum satis longum Typici. Deest titulus. Incipit: περὶ τῆς αὐτῆς ἑορτῆς εἰ τύχῃ τῇ ἡμέρᾳ τᾶ φαρισαίᾶ κ) τᾶ τελώνᾶ.

III. Pag. 22. Tit. + ἀναζήτησις κ) εὕρεσις τᾶ τιμίᾶ κ) ζωοποιᾶ σταυρᾶ, ἐπὶ κωνσταντίνᾶ κ) ἑλένης, τῶν ἁγίων κ) πρώτων ἐν χριστιανοῖς εὐσεβεστάτων βασιλέων. Initium: ἐν ἔτει ἑβδόμῳ τῆς βασιλείας κωνσταντίνᾶ τᾶ μεγάλᾶ βασιλέως κατὰ τὸν ἰαννᾶάριον μῆνα.

IV.

IV. Pag. 29. Tit. + τȣ̃... χρυσοστόμȣ λόγος περὶ ὑπομονῆς· κ̀ περὶ τȣ̃ μὴ πικρῶς κλαίειν τȣ̀ς τελευτῶντας: πάτερ εὐλ. Initium: φέρε σήμερον μάλιστα τῶν προτέρων ἡμερῶν σπȣδαιότερον.

V. Pag. 38. Tit. ἀκολȣθία, εἰς ἐγκαίνια ναȣ̃. Initium: ἑσπέρᾳ ἦγεν τῇ παραμονῇ.

VI. Pag. 46. Sermo de Jejunio. Desunt initio pauca.

VII. Pag. 60. Tit. + ἀναστασίȣ πατριάρχȣ τῆς θεȣπόλεως ἀντιοχείας· περὶ τῶν ἁγίων τριῶν τεσσαρακοστῶν· πόθεν παρελάβομεν αὐτὰς κ̀ ὅπως οἱ ταύτας παραβαίνοντες παρανομȣ̃σιν. Initium: ἔδει μὲν ἡμᾶς. Opusculum editum. Vide Fabricium vol. 9. pag. 334. Bibl. græcæ.

VIII. Pag. 64. Tit. + ἐκ τῶν θείων ἐντολῶν τȣ̃ κυρίȣ· ἐκ τῆς ὑποθέσεως τῆς περὶ τῶν ἀχράντων κ̀ ζωοποιῶν μυστηρίων τȣ̃ ζωοπαρόχȣ σώματος κ̀ αἵματος τȣ̃ κυρίȣ ἡμῶν ἰησȣ̃ χριστȣ̃· παρὰ διαφόρων ἁγίων κ̀ οἰκȣμενικῶν διδασκάλων ἐκτεθεῖσα παρὰ τȣ̃ μακαριωτάτȣ κ̀ ἁγιωτάτȣ ἰωάννȣ πατριάρχȣ ἀντιοχείας· τȣ̃ ἐν τῇ μονῇ τῆς ἐν τῇ νήσῳ τῇ ὀξεία κειμένȣ (sic): — Τȣ̃ χρυσοστόμȣ. Init. ἀναγκαῖον μαθεῖν ἡμᾶς. Hoc opusculum nihil est aliud quam brevis Catena ex paucorum fragmentis contexta, Chrysostomi scilicet, Dionysii, S. Anastasii Patriarchæ Antiocheni, Isidori, Eusebii Alexandriæ episcopi, et Sancti Nili. De Eusebio Alexandrino lege quæ scribit Fabricius Bibl. gr. vol. quinto pag. 275. Ejus fragmentum ex huius codicis pag. 66. placet hic exscribere: εὐσεβέιȣ (sic) ἐπισκόπȣ ἀλεξανδρείας: — Εἰ μὲν ἔχεις τὸ τῆς ψυχῆς συνειδὸς καθαρὸν, πρόσελθε τοῖς θείοις μυστηρίοις· εἰ δὲ κατακρίνει σε τὸ συνειδὸς, μὴ προσέλθῃς· μὴ ἐξέλθῃς δὲ τῆς ἐκκλησίας· μέχρις ἂν ἡ θεία πληρωθῇ μυσταγωγία· ὁ γὰρ πρὸ τῆς ἀπολύσεως τῆς ἐκκλησίας ἐξερχόμενος τὰς τȣ̃ ἰȣ́δα εὐθύνας ἀποτίσει. ȣ̓αὶ τῷ ἱερεῖ τῷ συγχωρȣ̃ντι τῷ ὑπ' αὐτὸν λαῷ ἀδιαφόρως προσέρχεσθαι τοῖς ἀχράντοις μυστηρίοις· ȣ̓αὶ τῷ δι' ἀδδηφαγίαν, πρὸ τῆς ἀπολύσεως τῆς ἐκκλησίας ὑποχωρȣ̃ντι. μὴ διὰ μίαν ὥραν ἀδελφοὶ μετὰ τȣ̃ προδότȣ κατακριθῶμεν· τȣ̃το γὰρ ἡμῖν προξενεῖ τὸ ῥαθύμως τῆς ἐκκλησίας ἐξέρχεσθαι, κ̀ μὴ παραμένειν ἕως ȣ̃ τελεσθῇ ἡ θεία μυσταγωγία.

IX. Pag. 66. Tit. κεφάλαια πάνυ ὠφέλιμα ἐκλεχθέντα ἀπὸ διαφόρων βιβλίων· ἐξαιρέτως δὲ τȣ̃ ἁγίȣ ἰωάννȣ τȣ̃ χρυσοςόμȣ· παρὰ τȣ̃ ὁσιωτάτȣ πατρὸς ἡμῶν κυρȣ̃ ἰσαὰκ τȣ̃ ἀναχωρητȣ̃: — Πρόλογος τȣ̃ ἀββᾶ ἰσαάκ. Initium: δύο ὁδοὶ εἰσιν ἀγαπητοὶ πρὸ προσώπȣ ἡμῶν· ποῖαι αὗται; τȣ̃ θανάτȣ, κ̀ τῆς ζωῆς. Videtur ineditum opusculum. Non memoratur a Fabricio vol. 10. Bibl. gr. pag. 171, et seqq.

X.

X. Pag. 78. Tit. ἐκ τȣ̃ βίȣ τȣ̃ ὁσίȣ πατρὸς ἡμῶν κυρίλλȣ τȣ̃ φιλεώτȣ ἀπόκρισις πρός τινα ἀδελφὸν ἐπερωτήσαντα αὐτὸν ταῦτα. Initium: ἀββᾶ ἤκȣσα παρὰ ἰατρȣ̃ ὅτι τὰ σῦκα πρὸ τροφῆς ὠφέλιμα εἰσί. Sequuntur nonnulla excerpta ex Gerontico.

XI. Pag. 86. Canones canendi die Transfigurationis Domini. Primus incipit: χριστὸς εἰς τὰ ἴδια.

XII. Pag. 97. Tit. κανόνες κατ' ἦχον εἰς τὴν κυρίαν ἡμῶν δέσποιναν θεοτόκον· ποιηθέντες ὑπὸ μανȣὴλ τȣ̃ μεγάλȣ ῥήτορος τῆς μεγάλης ἐκκλησίας. Primus incipit: ταχιστον τὸν νȣ̃ν μȣ ἀγαθή.

XIII. Pag. 118. Theoctisti Studitæ, Domni Manassis, Domni Simeonis Metaphrastæ, et aliorum εὐχαὶ, sive *Precationes* in Deiparam, in Christum Dominum, in Angelum Custodem. Hæc inscribitur: θεοκτίστȣ μοναχȣ̃ τȣ̃ στȣδίτȣ· εἰς τὸν ἅγιον ἄγγελον τὸν φύλακα τῆς ψυχῆς, διὰ στίχων. Tum alia oratio in Deiparam, quæ oratio dicitur ποίημα τȣ̃ κυρȣ̃ μανασῆ. Demum: κυρȣ̃ συμεὼν τȣ̃ λογοθέτȣ ϗ μεταφραστȣ̃· εὐχὴ εἰς ἐξομολόγησιν etc.

XIV. Pag. 126. Tit. τȣ̃ ἐν ἁγίοις πατρὸς ἡμῶν νέȣ θεολόγȣ· ϗ θαυματȣργȣ̃ γρηγορίȣ ἀρχιεπισκόπȣ θεσσαλονίκης· ὁμιλία περὶ τῆς πρὸς ἀλλήλȣς εἰρήνης· ῥηθεῖσα μετὰ τρίτην ἡμέραν τῆς αὐτȣ̃ πρὸς θεσσαλονίκην ἐπιδημίας. Initium: ἀδελφοὶ μὲν ἡμεῖς πάντες. Sequuntur quædam *Stichera*, et Canones.

XV. Pag. 158. Tit. αὐγȣ́στῳ ιέ. τȣ̃ μεταφραστȣ̃: λόγος λθ': εἰς τὴν κοίμησιν τῆς παναγίας δεσποίνης ἡμῶν θεοτόκȣ: διαλαμβάνων τὰ ἀπὸ τῆς σεβασμίας γεννήσεως ϗ ἀνατροφῆς τῆς ὑπεραγίας δεσποίνης ἡμῶν θεοτόκȣ· τῆς θεοπρεπȣ̃ς τε γεννήσεως χριστȣ̃ τȣ̃ θεȣ̃ ἡμῶν· ϗ ὅσα μέχρι τῆς ζωηφόρȣ αὐτȣ̃ συνέδραμε τελευτῆς· προσέτι ϗ περὶ τῆς φανερώσεως τῆς τιμίας αὐτῆς ἐσθῆτος· ϗ ὅπως ὁ μέγας ȣ̃τος πλȣ̃τος χριστιανῶν τεθησαύρισται: εὐλ. πάτερ. Initium: ἐχρῆν ἀληθῶς τὴν παρθένον, ὥσπερ αὐτὴ θεȣ̃ πρὸς ἀνθρώπȣς ἐπιφοιτᾷν μέλλοντος, ἄξιόν τι ϗ θεοπρεπὲς εὑρέθη κατοικητήριον· ȣ̃τω νῦν etc. Edita latine. Vide Fabr. vol. 9. Bibl. gr. pag. 112.

XVI. Pag. 190. Tit. τȣ̃ ἁγίȣ πατρὸς ἡμῶν ἰωάννȣ τȣ̃ δαμασκηνȣ̃· λόγος εἰς τὴν κοίμησιν τῆς πανυμνήτȣ θεοτόκȣ· ϗ ἀειπαρθένȣ μαρίας: εὐλ. πάτερ. Initium: ἔστι μὲν ἀνθρώπων ȣ̓δεὶς. Edita.

XVII. Pag. 204. Plures Canones recitandi in honorem Deiparæ. Primus incipit: τέμενος ὑπάρχȣσα θεȣ̃.

C X X V I I.

Codex chartaceus, in octavo, constans chartis 229, exaratus seculo XVI.

I. Primis 22. paginis non occurrunt nisi excerpta e Sacris lite-

literis, ex Nicephoro Blemmida, ex Dionysio Areopagita, et aliis.

II. Pag. 23. Oratio S. Gregorii Nazianzeni εἰς τὰ θεοφάνια ἤτοι γενέθλια τοῦ σωτῆρος, incipiens: χριστὸς γεννᾶται.

III. Pag. 35. Alia excerpta ex Procopio Gazæo, e Sacris Scripturis, e Joanne Damafceno.

IV. Pag. 51. Marci Ephesii hominis schismatici opusculum. Tit. ✝ τοῦ ἁγίου πατρὸς καὶ φωστῆρος ἡμῶν μάρκου ἀρχιεπισκόπου ἐφέσου τοῦ νέου θεολόγου· συλλογιστικὰ κεφάλαια πρὸς λατίνους. Initium: τὸ πνεῦμα τὸ ἅγιον.

V. Pag. 54. Ejusdem aliud. Tit. μάρκου: ✝ θεωρία εἰς τὸν ἀριθμὸν τῶν ἐν τῇ εὐαγγελικῇ παραβολῇ ταλάντων. Incipit: ὁ τὰ πέντε τάλαντα πεπιστευμένος.

VI. Pag. 59. Ejusdem de anima Brutorum quæstio. Tit. μάρκου ἐφεσίου: ἐρώτησις. εἰ διὰ τὸ αὐτοκίνητον etc. Tum ἀπόκρισις: ἡ μὲν ἀνθρωπίνη καὶ λογικὴ ψυχή.

VII. Pag. 63. Tit. ✝ ἐκ τῶν κατὰ λατίνων λόγων βαρλαὰμ μοναχοῦ τοῦ καλαβροῦ etc. Initium: ὅτι μὲν οὖν ὑποκειμένου. Pag. 66. adnotatur, Barlaamum hunc Catholicum factum postea fuisse, et creatum episcopum. Vide codicem 114. num. 8.

VIII. Pag. 67. Epistolæ sexdecim Photii. Tit. ✝ φωτίου τοῦ ἁγιωτάτου πατριάρχου κωνσταντινουπόλεως. Primæ inscriptio: παύλῳ μοναχῷ ἀποστήσαντι. Initium: τὸν χριστὸν καὶ θεὸν ἡμῶν. Sequuntur Epistolæ Isidori, et Excerpta ex Aristotele.

IX. Pag. 83. Tit. ἐκ τῆς βίβλου τοῦ φιλῆ μανουήλ: πρὸς τὸν αὐτοκράτορα κύριν μιχαήλ, περὶ ζώων ἰδιότητος: — προοίμιον. Initium:

ἐχρὴν μὲν ἀδὰμ τὸν γενάρχην τὸν μέγαν.

Lege Fabricium vol. 7. Bibl. gr. pag. 696.

X. Pag. 99. Epigrammata, sive alii iambi, ejusdem fortasse Manuelis Phile.

XI. Pag. 102. Tit. κεφάλαια ἃ συνέθετο ῥικάρδος κατὰ τῆς νομοθεσίας τοῦ κατακράτου μαχούμετ. Sexdecim capitula, quibus constat opus Ricardi, recensentur. Deinde selecta quædam capita integra exscribuntur.

XII. Pag. 117. Danielis Episcopi Ephesini iter ad loca Sancta ab ipsomet descriptum seculo XV. Tit. διήγησις δανιὴλ μητροπολίτου ἐφέσου καὶ περίοδος τῶν ἁγίων τόπων. Se episcopum Smyrnæ vocat, non Ephesi. Fortasse a Smyrnensi ad Ephesinam Cathedram postea translatus fuit. Nos integrum opus infra exscribemus.

XIII.

XIII. Pag. 133. Tit. + παχωμίȣ μοναχȣ͂· κατὰ ἁγιοκατηγόρων· ἤτοι etc. ut cod. 125. num. 18.

XIV. Pag. 142. Tit. + τȣ͂ αὐτȣ͂· περὶ εἰκόνος ϗ τȣ͂ κατ' εἰκόνα. In marg. ἔστι κατὰ ἀρειανῶν ϗ νεστοριανῶν. Vid. cod. 125. num. 19.

XV. Pag. 149. Tit. παχωμίȣ μοναχȣ͂· ὁμιλία εἰς τινα τῶν ῥητῶν etc. ut cod. 125. num. 24.

XVI. Pag. 164. Tit. + παχωμίȣ μοναχȣ͂· εἰ ἐκ θεȣ͂ θάνατος· ϗ πῶς εἰσῆλθε etc. Initium: ὁ θεὸς θάνατον ȣ̓κ ἐποίησε κατὰ τὴν γραφήν·

XVII. Pag. 167. Tit. + παχωμίȣ μοναχȣ͂· λόγος ὑπεραπολογητικός τε etc. ut cod. 125. num. 20.

XVIII. Pag. 190. Epistola ejusdem Pachomii. Inscriptio + διονυσίῳ ἱερομονάχῳ τῷ ἀναχωρητῇ. Initium: εἶπας δέσποτά μȣ ἅγιε. Vid. cod. 125. num. 21. Reprehenderat Dionysius iste Pachomium quod in sua homilia dixisset, τὰ εὐχέλαια, i. e. extremam unctionem, adminiſtrari ægrotis: quia etiam iis qui quadam animæ infirmitate, non vero corporis laborant, illam conferimus (ajebat Dionysius), ut magis adversemur Latinis, qui mortuis illam conferunt. Respondet huic quæſtioni Pachomius in hac epistola, ſed non refellit ridiculam illam calumniam, quam Latinis objecit iste Dionysius, quod ſcilicet hi extremam unctionem conferant mortuis: imo veram esse eam ſupponit, cum ait: ἐπεὶ δὲ ϗ εἴρηκας· ἵνα μὴ λαβὴν δῶμεν τοῖς (λατινόφροσιν) ἐπὶ τȣ̀ς θνήσκοντας ἢ ϗ ἤδη ἀποθανόντας τȣ͂το τελȣ͂σι· σύνες τίς ὁ διδȣ̀ς τὴν λαβήν.

XIX. Pag. 191. Opusculum ejusdem Pachomii, nempe collectio monumentorum ecclesiasticorum, ex quibus constat, vitam Monachorum debere esse communem. Tit. + συναγωγὴ διαφόρων κεφαλαίων· ὅτι δεῖ τȣ̀ς ἐν τῇ αὐτῇ μονῇ μοναχȣ̀ς κοινῶς βιȣ͂ν κατὰ πάντα· ϗ ἀρκεῖσθαι τοῖς ἀναγκαίοις. Initium: κανὼν ϛ' τῆς πρώτης ϗ δευτέρας λεγομένης συνόδȣ: Οἱ μοναχοὶ ȣ̓δὲν ἴδιον ὀφείλȣσιν ἔχειν. Monumenta, quæ dixi, desumpta sunt, præter hoc primum, ex Asceticis S. Basilii, ex S. Chrysostomo, e S. Maximo, ex Barlaami historia de Monachis, e S. Ephraimo, ex Gerontico, ex Gregorio Dialogo, ex Typico S. Athanasii ἀθωνίτȣ, ex ejusdem testamento, ex Typico Imperatoris D. Andronici Palæologi fundatoris Monasterii megalomartyris Demetrii τῶν κελλιβάρων, et ἐκ τȣ͂ τυπικȣ͂ τῆς σεβασμίας μονῆς τȣ͂ φιλανθρώπȣ σωτῆρος χριςȣ͂· τῆς ἐκ βάθρων ἀνακαινισθείσης παρά τε τῆς εὐσεβȣ͂ς βασιλίσσης· εἰρήνης λασκαρίνης τῆς παλαιολογίνης· τῆς

διὰ τȣ̃ θείȣ ϰ̀ ἀγγελιϰȣ̃ σχήματος μετονομασθείσης εὐλογίας, ϰ̀ τῶν ταύτης γονέων· ἐϰδοθέντος ϰ̀ ἐϰτεθέντος παρ᾽ αὐτῆς. His allatis hæc subjunguntur, ex quibus patet collectorem esse Pachomium = εἶχε τὰ τῶν εὐσεβῶν βασιλέων τυπιϰά· ϰ̀ ἕτερα περὶ ἀϰτημοσύνης ϰεφάλαια· ἀλλὰ παρελίπομεν ταῦτα διὰ τὸ μῆϰος τȣ̃ λόγȣ. λοιπὸν προσθετέον ϰ̀ τὰ παρ᾽ ἡμῶν ἀϰολȣ́θως: tum Tit. παχωμίȣ μοναχȣ̃. Initium: τέσσαρές εἰσιν ἐξαίρετοι ἀρεταί.

XX. Pag. 207. Epistola ejusdem. Tit. = παχωμίȣ μοναχȣ̃. Inscriptio: μαϰαρίῳ τῷ ποτὲ μητροπολίτῃ θεσσαλονίϰης. Initium: ἐγὼ μὲν ᾤμην ἄνθρωπε τȣ̃ θεȣ̃.

XXI. Pag. 213. Ejusdem canon, ut græci vocant, in Sanctos Athanasium et Cyrillum. Tit. παχωμίȣ: εἰς ἀθανάσιον ϰ̀ ϰύριλλον ἀλεξανδρείας.

XXII. Pag. 220. Canones Apostolorum.

Διήγησις δανιὴλ μητροπολίτȣ ἐφέσȣ· ϰ̀ περίοδος τῶν ἁγίων τόπων.

Χριστȣ̃ τȣ̃ ἀληθινȣ̃ θεȣ̃ ἡμῶν ϰ̀ αἰωνίȣ βασιλέως τῶν βασιλευόντων ϰἀμὲ τὸν ἀχρεῖον δȣ̃λον αὐτȣ̃ ϰατευοδεύσαντος ἰδεῖν αἰσθητῶς τȣ̀ς σεβασμίȣς τῶν ἱεροσολύμων τόπȣς· ϰ̀ ἑτέρȣς δή τινας χώρȣς μετρίως ὄψεσθαι ϰ̀ ϰαθιστορῆσαι, ἐϰρίθη μοι εὔλογον ἵνα ϰ̀ ἄλλοις δή τισιν εὐσεβέσι μάλιστα διὰ τῆς γραφῆς ταυτησὶ ϰαθυποδεῖξαι τȣ́τοις ὅσον οἷόν τε αὐτοῖς νοητῶς δηλονότι. ἐπὶ πολλοῖς ȣ̃ν ἐς τὰ μάλιστα ὑπάρχει ἐπίχαρτον ϰ̀ ἀϰȣ́ειν τῶν τοιȣ́των ϰ̀ διηγεῖσθαι τοῖς χρήζȣσιν· ϰεφαλαιωδῶς ȣ̃ν ἐϰθήσομαι, ȣ̓ϰ εἰς ἄπειρον τὴν τῶν τοιȣ́των διήγησιν· ἵνα ϰἀμοὶ τῷ ταῦτα γράφοντι ϰ̀ τοῖς ἐντυχεῖν μέλλȣσι τῷ συντάγματι, μὴ ἐνοχλῇ τὸ πολὺ τῆς ὥρας διάστημα. εἰ δέ τις ἔροιτο τίνος τȣ̃το συγγραφή· τὸν γὰρ πατέρα τȣ̃ λόγȣ ζητεῖν πάντως ἄξιον, ὅτι τȣ̃ ἐν μοναχοῖς ἐλαχίστȣ μητροπολίτȣ σμύρνης δανιὴλ ὑπάρχει σύνταγμα· τȣ̃ ϰ̀ εἰδότος αἰσθητῶς τὰ τοιαῦτα τῇ ἀληθείᾳ· ϰ̀ διηγȣμένȣ ταῦτα τοῖς ἀϰȣ́ειν ἐθέλȣσι· τὰ ὄντως ȣ̓ μόνον ἀϰοῆς ἀλλὰ ϰ̀ θεωρίας ἄξια.

Ἀρχὴ δὲ λοιπὸν τῆς τῶν τοιȣ́των διηγήσεως ἔσεται ἡμῖν, ὅθεν αὐτοὶ τῆς τȣ́των πορείας ϰ̀ θεωρίας ἠρξάμεθα.

Τῆς ϰωνςαντινȣπόλεως ἐξελθὼν τῇ ἐπιτροπῇ τȣ̃ ἁγιωτάτȣ ἐν πατριάρχαις ϰυρȣ̃ μαξίμȣ· παρ᾽ αὐτȣ̃ γὰρ ἐξαπεστάλην εἰς τὰ τρία τῆς ἀνατολῆς πατριαρχεῖα χάριν ὑποθέσεων τινων συνοδιϰῶν ϰ̀ ἐϰϰλησιαςιϰῶν, τȣ̃ ϰυρȣ̃ τȣ̃το ἀπαιτȣ̃ντος· διά τε ȣ̃ν ἀσίας ϰ̀ φρυγίας ὁδεύσας, ϰ̀ εἰς ἀττάλειαν ϰατελθὼν, ϰ̀ διὰ νηὸς ἐν πενταπόλει τῆς αἰγύπτȣ διαπεράσας, ἀνῆλθον εἰς αἴγυπτον μετὰ πλοιαρίȣ διὰ τȣ̃ ποταμȣ̃ τȣ̃ νείλȣ· ἥτις ἄρα τῆς θαλάσσης ταύτης διΐσταται ὡσεὶ μίλια τριαϰόσια ϰ̀ πρόσθεν. ἔστι δὲ ἡ αἴγυπτος· ȣ̓ τοσȣ̃τον μεγάλη

πόλις.

πόλις ὡς ἠκούομεν, ὅσον ἐστὶ πολυάνθρωπος. διπλῆ δὲ ἄρα ἐνὶ· διεστᾶν ἀπ' ἀλλήλων αὐτάς· κὴ ἡ μὲν παλαιὰ αἴγυπτος, σμικροτάτη ἐστὶν ὡς πρὸς τὴν νέαν· ἥτις ἄρα κὴ εὐδαιμονεῖ ὑπὲρ τὴν παλαιάν. εἰσὶ δὲ αἱ δύο ἐν τοῖς ἀριστεροῖς κείμεναι τοῦ ποταμοῦ νείλου· εἰ πρὸς ἕων τὶς ἀπείδοι, ὥσπερ τεῖχος νοτιαῖον ἐστὶ κὴ ταῖς δυσὶν ὁ νεῖλος οὗτος. εἴη δὲ τὸ τοῦ νείλου πλάτος, ὡς τὸ τῆς πόλεως ἀπὸ τὸν (sic) γαλατᾶν ἔν τισι μέρεσιν αὐτοῦ· ἐν ἄλλοις δὲ κὴ ἔλαττον. αἱ δὲ εἰρημέναι πόλεις εἰ ταύτας τῷ νῷ ἑνώσεις ἀλλήλαις εὑρήσεις καταπολὺ τῆς κωνσταντινουπόλεως τοῦ μεγέθους ἐλάττους· πλὴν ἄρα αὗται ἐκείνης νῦν πολυάνθρωποι. εἰσὶν ἐν τῇ πάλαι αἰγύπτῳ ταύτῃ κὴ ναοὶ πολλοὶ περικαλλεῖς ἄγαν· ὑπ' εὐσεβῶν κατὰ καιροὺς βασιλέων ἀνεγερθέντες· τρεῖς δὲ εἰσέτι τοῖς ὀρθοδόξοις διατηροῦνται κὴ μόνον. ὧς ὁ μέν ἐστι τούτων, ὁ ποτὲ οἶκος, ἔνθα ἡ θεοτόκος κατῴκει μετὰ τοῦ ἰωσήφ· κὴ τοῦ προαιωνίου υἱοῦ αὐτῆς βρεφωθέντος· ὅτε τῇ τοῦ ἀγγέλου εἰσηγήσει παρέλαβε ταύτην ὁ ἰωσὴφ κὴ τὸ παιδίον, κὴ κατῆλθεν εἰς αἴγυπτον· ὁ δὲ τοιοῦτος οἶκος ὕστερον ὑπὸ τῶν εὐσεβῶν, εἰς ναὸν περικαλλῆ τε κὴ ὡραιότατον μεταποιηθείς, τῇ τοῦ λόγου ἀφιερώθη μητρί· ἐν ᾧ κὴ ἡμεῖς τινας διεβιβάσαμεν ἡμέρας· ἐν τοῖς κελλίοις δηλονότι τοῖς σύνεγγυς αὐτῷ. ὁ δὲ ἕτερος τῶν ναῶν, τῷ μεγαλομάρτυρι ἀφιέρωται γεωργίῳ· ἐν πύργῳ ὑψηλῷ ἐπάνω· ὃς κὴ πρότερον κὴ ἐς δεῦρο παρθενὼν τηρεῖται ταῖς βουλομέναις ἀσκεῖν. ὁ δὲ τρίτος τῶν εἰρημένων ναῶν, ἑλληνικὸς πρότερον ἦν κὴ εἰδωλεῖον· ἐν αὐτῷ γὰρ παραγεγονὼς ὁ κύριος παιδίον ὑπάρχων τῷ σώματι, μετὰ τῆς ἁγίας αὐτοῦ κὴ ἀχράντου μητρὸς θεωρίας χάριν· ἢ κὴ οἰκονομικῶς τῆς πανάγνου ἐκεῖσε παραγενομένης· ἐγγὺς γὰρ ἧς ἐμνήσθημεν κατοικίας τῆς παρθένου τὸ τοιοῦτον ἦν εἰδωλεῖον, ἅμα τῷ εἰσελθεῖν κὴ ἰδεῖν τὸν χριστὸν τὰ ἐν αὐτῷ ἀπεωρημένα εἴδωλα, εὐθὺς εἰς γῆν καταπεσόντα συνετρίβησαν· καθὰ δὴ κὴ εἰσέτι οἱ τόποι ἔνθα τὰ εἴδωλα ἦν ὁρῶνται τούτων χωρίς· ἐν τῷ ἀριστερῷ τοῦ ναοῦ τούτου μέρει ἐφ' ὑψηλοῦ ὡς τινες θρόνοι ἐν οἷς ἐκάθηντο τότε προσηλωμένα τεχνικῷ τινι τρόπῳ, εἰς τὸ ἵστασθαι ταῦτα ἑδραῖα· κὴ ὁρᾶσθαι τοῖς πεπλανημένοις τω τότε (sic) τῶν ἀνθρώπων. μετηλλάγη δὲ κ' οὗτος ἐξ εἰδωλείου ὕστερον εἰς τὸ τοῦ μεγάλου πατρὸς ὄνομα νικολάου τοῦ ἐν μύροις. Πέραν δὲ τοῦ ποταμοῦ τοῦ νείλου· ἀντικρὺ τῆς λεγομένης παλαιᾶς αἰγύπτου ἧς προεμνήσθημεν· ὡσεὶ μιλίων διάστημα ἑπτὰ πρὸς νότον, εἰσὶ κὴ αἱ λεγόμεναι πυραμίδες ἤτοι τὰ σιτοδοχεῖα τοῦ πάλαι ἰωσὴφ υἱοῦ ἰακώβ. πλὴν αὗται ὡς οἶμαι, οὐκ ἐκτίσθησαν ἐν πρώτοις ἕνεκα τῆς χρείας ταύτης σιτοδοχεῖα· ἀλλὰ τάφοι ἦσαν βασιλέων μεγάλοι τινὲς κ' πολυέξοδοι. δῆλον γὰρ ἐκ τούτων· ὅτι κὴ εἰς ἐρημίαν εἰσὶν οὗτοι· κὴ ἄλλοι δή τινες παρόμοιοι εὑρίσκονται ἐγγὺς τούτων κὴ μακρὰν ἀφεστηκότες· οἱ μὲν μείζους· οἱ δὲ ἐλάττους· κατὰ τὴν ἰσχὺν τῶν κατασκε-

τασκευαζόντων τούτους ὡς ἔοικε. τὰ οὖν ἐν αἰγύπτῳ μοι ἱστορηθέντα ταῦτα· ἅτινα δοκεῖ, τὰ ἀναγκαιότερα εἶναι. ἐκ ταύτης δὲ ἐξελθόντες, ἀπήλθομεν ὀψόμενοι ϗ τὸ σίναιον ὄρος· τὸ πᾶσι σχεδὸν θρυλλούμενον. ταῖς καμήλοις τοίνυν ἐποχηθέντες· διὰ τὸ ἔρημον τῆς ὁδοῦ ταύτης ϗ ἄνυδρον ἐς τὰ μάλιστα, δί ἡμερῶν δεκατεσσάρων ἀνήλθομεν εἰς τὸ σίναιον. τοίνυν εὐθὺς τῆς αἰγύπτου ἀπάραντες· ϗ ὁδεύοντες· τῇ τρίτῃ ἡμέρᾳ μετὰ τὴν ἐξέλευσιν, εὕρομεν τὴν λεγομένην ἐρυθρὰν θάλασσαν· ἤτοι τὸ ἄκρον τοῦ κόλπου αὐτῆς. ἐάσαντες δὲ ταύτην ἐν τοῖς δεξιοῖς πρὸς ἕω πορευόμενοι, ἡμέρας δή τινας ὁδοιπορήσαντες, ἤλθομεν ἐν τῷ τόπῳ ἔνθα ὁ ἰσραὴλ τοπάλαι διὰ μωσέως τοῦ προφήτου τῆς θαλάσσης θείῳ νεύματι σχισθείσης διαβὰς ἀβρόχως τῆς τοῦ ἐχθίστου φαραὼ τυραννίδος ἐῤῥύσθη· ϗ τὴν ἔρημον περιεπάτησεν. ἔστι δὲ τὸ τοῦ θαλαττίου τούτου διάστημα· τὸ σχισθὲν διὰ μωσέως δί οὗ ὁ λαὸς ἐπέρασεν, ὡσεὶ μίλια ἑξκαίδεκα (sic) ἢ ϗ δεκαοκτὼ ὅσον ἐξ εἰκασμοῦ σταθμίσαι ἠδυνήθην ἐγώ. ὑποκάτω δὲ ὑπορείας ὄρους ἐξῆλθον οὗτοι· ἀντικρὺ δὲ ὅθεν εἰσῆλθον δηλονότι. θηβαΐδος δὲ ὅρια ταῦτα. ἔστι δὲ ϗ τὸ ὄρος τοῦ μεγάλου πατρὸς ἀντωνίου· ἐν ᾧ δηλαδὴ οὗτος τοὺς ἀσκητικοὺς διήνυσεν ἀγῶνας· ϗ τὸ τοῦ ἁγίου ἀντωνίου εἰσέτι ὀνομάζεται. ἔρημον δὲ τοῦτο ϗ τὰ συνόντα ὅρια τούτῳ τῆς θηβαΐδος· οὐ μόνον μοναχῶν, ἀλλὰ ϗ μιγάδων ἀνδρῶν ὀρθοδόξων. αἱρετικοὶ δε ἄνθρωποι θεοπασχῖται· ἔν τε τῇ θηβαΐδι ϗ τῇ λεγομένῃ λιβύῃ εἰσέτι εὑρίσκονται. ἐκ τῶν τοιούτων οὖν ὁρίων διὰ πόνου πολλοῦ ὥς φασι, ϗ εἰς αἰθιοπίαν ἀπέρχονται. τοῦ τόπου τοίνυν οὗ οἱ ἰσραηλῖται τῆς ἐρυθρᾶς ἐξῆλθον θαλάσσης, ἀπέχοι ἂν ἡ λεγομένη μεῤῥὰ ὡσεὶ μίλια ἕξ. ἔστι δὲ ἐν αὐτῇ ὕδατα πολλὰ ἐν χειμάῤῥῳ· οὐ τοσούτῳ ϗ νῦν πότιμα· διὰ τὸ εἶναι ταῦτα ϗ ἁλμυρὰ ὀλίγον, καὶ μετρίως ὑπόθερμα. ὕστερον δὲ οἱ ἑβραῖοι τωτότε μόλις εὗρον ϗ ταῦτα τὰ ὕδατα. ἐκ τῶν τοιούτων οὖν ϗ ἡμεῖς ἐπίομεν. ὁδοιπορήσαντες ἡμέρας τρεῖς πρὸς ἀνατολὰς ἡλίου ἀεὶ πορευόμενοι, σχεδὸν τῆς αἰγύπτου ἐξήλθομεν· εὕρομεν ϗ τὴν ὀνομαζομένην ῥαϊθώ. παλαιὰ ποτὲ πόλις οὖσα ἐρυθρᾶς θαλάσσης παράλιος· ἔνθα ϗ μοναστήριον ἐγγὺς αὐτῆς οἰκοδομηθὲν τῷ βασιλεῖ ἰουστινιανῷ τῷ πάλαι· ϗ ἦν ὁ ναὸς δρομικὸς ϗ ὡραῖος· ϗ κελλία πολλὰ περικεκλεισμένα κάστρῳ μετὰ πύργων· ἐν ᾧ ϗ οἱ ὅσιοι πατέρες ἐκεῖνοι ποτὲ, ὑπὸ τῶν ἀθέων βλεμμύων κατεσφάγησαν. νῦν δὲ τοῦτο πάμπαν ἀνθρώπων ἔρημον ϗ ἠφανισμένον ὑπάρχει. ἐγγὺς δὲ τούτου διάστημα εἰσὶ ϗ αἱ δώδεκα πηγαὶ τῶν ὑδάτων ϗ ἑβδομήκοντα στέλεχοι τῶν φοινίκων περὶ ὧν γράφει μωυσῆς. ϗ αἱ μὲν τῶν πηγῶν ἓξ, κατεπόθησαν ὑπὸ τὴν γῆν ἀμμώδη οὖσαν· οἱ δὲ φοίνικες ἐπὶ μᾶλλον ηὐξήνθησαν· ϗ εἰσὶ νῦν οἱ καρποφοροῦντες ϗ πλείονες τῶν χιλίων. νάουσι δὲ αἱ τοιαῦται πηγαὶ ϗ ἐξέρχονται ἐς τ' ἐμφανὲς ὑποκάτω ὄρους μικροῦ· πότι-

μον

μον ἔχουσι μετρίως τὸ ὕδωρ· καὶ ὀλίγον ὑπόθερμον. ἄλλαι μὲν οὖν τῶν τοιούτων πηγῶν ῥέουσι πολὺ τὸ ὕδωρ· ἕτεραι δὲ ἔλαττον. ταῦτα εἰδόντες δι' ἡμερῶν δύο, ἐκ τῆς ἐρυθρᾶς ἀνήλθομεν καὶ εἰς τὸ σίναιον ὄρος. ἔστι δὲ τὰ ἐκεῖ ὄρη πολλὰ καὶ δύσβατα· περὶ δὲ τὸ ἱερὸν μοναστήριον, τρία ὄρη ὁρᾶται ἀλλήλων ἐχόμενα· ὧν τὸ μὲν κεῖται πρὸς μεσημβρίαν· στρογγυλοειδὲς ὂν καὶ ὑψηλόν· τὸ δὲ μέσον πρὸς ἕω ἐστὶν αὐτὸ τὸ σίναιον· οὐ τοσοῦτον ὂν ὑψηλόν· τὸ δὲ τρίτον αὐτό ἐστι τὸ χωρὴβ ἐν ᾧ θεὸς ὡς οἶδε τῷ τε μωσῇ καὶ τῷ ἡλίᾳ ἐφάνη ὕστερον. ὑποκάτω οὖν τοῦ χωρὴβ τούτου εὐθὺς ἐν τῇ ὑπορείᾳ αὐτοῦ ἐστὶ τὸ εἰρημένον μοναστήριον μετὰ κάστρου καὶ αὐτὸ δίῳ βασιλεῖ ἰουστινιανῷ καὶ τοῦτο οἰκοδομηθέν· ὡς αὐτῶν ἐμφερομένων ἐκεῖσε γραμμάτων μανθάνομεν. ἔστι δὲ ὁ ναὸς αὐτοῦ δρομικὸς μέγας καὶ ὡραιότατος· ὑπὸ δώδεκα μεγίστων ἐπερειδόμενος κιόνων· ἀνὰ ἓξ παρ' ἑκάτερον μέρος ἔχων. τὸ δὲ ἔδαφος αὐτοῦ μαρμάροις ὡραίοις κατέστρωται· καὶ πολυποικίλτοις διά τινων ψηφίδων καθοραΐζεται. ὁ δὲ ναὸς αὐτὸς· τὸ μὲν εὖρος αὐτοῦ ὑπάρχει βήματα ἐννεακαίδεκα ἀνοικτὰ ὡς δυνατόν· πλάτος δὲ αὐτοῦ εὑρίσκεται βήματα ὅμοια δεκατέσσαρα· τῷ σωτῆρι δὲ χριστῷ, ὁ ναὸς οὗτος ἀφιέρωται. ὄπισθεν δὲ τοῦ βήματος αὐτοῦ, ἔστι καὶ ἑτέρα ἐκκλησία μικρὰ ἡνωμένη τῇ μεγάλῃ. ἐκεῖ δέ ἐστιν ὑποκάτω τῆς ἁγίας τραπέζης αὐτῆς καὶ ἡ ἁγία βάτος· ἥτις ὁ τόπος αὐτόχρημα ἔνθα τωτότε ἡ βάτος ἦν ἐῤῥιζωμένη· καὶ ὠράθη τῷ προφήτῃ μωσῇ· καιομένη μὲν· μὴ καταφλεγομένη δέ. προσκυνήσαντες τοίνυν κἀκεῖσε καὶ τὸ τῆς μεγαλομάρτυρος αἰκατερίνης ἅγιον λείψανον ὅπερ ὑπάρχει ἐν αὐτῷ τῷ μοναστηρίῳ τεθησαυρισμένον ἐν κιβωτίῳ ἀργυρενδύτῳ ἔμπροσθεν τῶν ἁγίων εἰκόνων ἐν τοῖς δεξιοῖς τοῦ ναοῦ, δεῖν ἔγνωμεν καὶ ἐν τῇ τοῦ ἁγίου ὄρους χωρὴβ ἐπανελθεῖν κορυφῇ· ἔνθα μωσῆς τῆς θεοπτίας ἐκείνης κατηξιώθη καὶ τὰ ἐκεῖσε ἰδεῖν. ἀπὸ τοῦ πρόποδος οὖν τοῦ εἰρημένου ὄρους ἔνθα τὸ μοναστήριον ἵδρυται μέχρις αὐτοῦ κορυφῆς· ἐν ᾗ γενόμενος μωσῆς τῶν θεαμάτων ἐκείνων κατηξιώθη· ἔστι γὰρ τὸ ὄρος ἄγαν δύσβατον καὶ ἀνωφερές, εἰσὶ βαθμίδες τρισχίλιοι καὶ τετρακόσιοι ὡς παρ' ἐμοῦ μετρηθεῖσαι. ἐν τῷ μέσῳ τοιγαροῦν· τῆς ἐν τῷ ὄρει τούτου ἀνόδου, ἔστι καὶ ναὸς μικρὸς εἰς ὄνομα ἡλιοῦ τοῦ προφήτου· ἐντὸς δὲ τοῦ βήματος τούτου ὑπάρχει καὶ τὸ σπήλαιον· ἔνθα ἡλίας αὐτὸς τὴν τεσσαρακονθήμερον διανύσας νηστείαν, τῆς θεοπτίας ἐκείνης κατηξιώθη· ἀπὸ γὰρ τὸ μέρος τοῦ ἰορδάνου ἐκεῖσε παρεγένετο· ὅτε καὶ ὁ ἄγγελος εἶπεν αὐτῷ· ἀναστὰς φάγε καὶ πίε· ὅτι πολλὴ ἀπὸ σοῦ ἡ ὁδός· πεντεκαίδεκα γὰρ ἡμερῶν τὸ τοιοῦτον ἔνι διάστημα· ἐν ᾧ σπηλαίῳ τῷ τοῦ ἡλιοῦ δηλαδὴ καὶ αὐτὸς εἰσελθών· καὶ κατασπασάμενος αὐτό· μόλις γὰρ ἔνδον ἕνα χωρήσει ἄνθρωπον καὶ τοῦτον γονυκλιτοῦντα, ἀπὸ τούτου ἀνήλθομεν καὶ εἰς τὴν ἁγίαν τοῦ ὄρους χωρὴβ κορυφήν. ἔστι δὲ ἐν αὐτῇ τῇ κορυφῇ

ρυφῇ

ρυφῆ πέτρα τις ἐ τοσȣ̃τον ἔσα μεγάλη, ἐῤῥιζωμένη δὲ τῷ ὄρει· ἐφ' ἧς ὑποκάτω σμικρὸν ὁρᾶται ὥς τι σπήλαιον· μόλις ἕνα χωρȣ̃ν ἄνθρωπον, κ̀ τȣ̃τον ὕπτιον εἰσελθεῖν. ἐν τȣ́τῳ ȣ̃ν εἰσελθὼν ὁ μωσῆς τῷ φόβῳ κάτοχος ὢν, στενοχωρȣ́μενος ἔνδον τȣ́τȣ ὢ τȣ̃ θαύματος, ἐτυπώθη ἐν τῇ τοιαύτῃ πέτρᾳ ἄνωθεν μάλιστα· τὸ, τε ὄπισθεν τῆς κεφαλῆς μωυσέως, κ̀ τὰ νῶτα αὐτȣ̃· κ̀ τὰ ὄπισθεν τὰ παχύτερα τῶν μελῶν αὐτȣ̃· κ̀ ὁρᾶται σήμερον τυπωθέντα τῇ πέτρᾳ ταύτῃ. ἔστι δὲ κατὰ κορυφὴν τȣ̃ εἰρημένȣ ὄρȣς ὑπὸ γῆς σπήλαιον μικρὸν κ̀ αὐτὸ ὥσπέρ τι φρέαρ· ἐν ᾧ καταβὰς ὁ θεῖος μωυσῆς· τὴν τεσσαρακονθήμερον διήνυσε νηστείαν, ὡς ἐκ παραδόσεως τȣ̃το ᾄδεται. ἦν δὲ ἐν αὐτῇ τῇ κορυφῇ κ̀ ναὸς οἰκοδομηθεὶς ἰȣστινιανῷ τῷ πάλαι· ἀλλὰ τὸ πολὺ τȣ̃ χρόνȣ κ̀ τὸ σφοδρὸν τȣ̃ κρύȣς κ̀ τῶν ἀνέμων κ̀ τȣ̃τον κατέβαλε. πλὴν εἰσέτι ἔστι ναὸς μικρὸς ἱστάμενος ἕτερος συγκεκολλημένος τῇ εἰρημένῃ πέτρᾳ τȣ̃ μωσέως. ἔστιν ȣ̃ν τὸ ὄρος χωρὴβ τȣ̃το· κ̀ τὰ σύνεγγυς ὄρη ἅπαντα, τῇ ἔξω ἐπιφανείᾳ τῶν πετρῶν τακέντα· κ̀ τὸ εἶδος ἔχοντα ὥσπερ ἀνεὶ σίδηρος ἦν ἀναμεμιγμένος κηρῷ· καθὰ δὴ κ̀ ὁ προφήτης περὶ τȣ́των φησὶν, ὅτι ἐτάκη τὰ ὄρη βίᾳ ἀπὸ προσώπȣ τȣ̃ θεȣ̃. ἐν τῇ κορυφῇ ȣ̃ν τȣ̃ ὄρȣς τȣ́τȣ ἐδέξατο μωυσῆς ὁ προφήτης τὸν πρῶτον κ̀ τὸν δεύτερον νόμον. ταῦτα κ̀ πλείω εἰδόντες ἐκεῖ, κατήλθομεν ἐκ τȣ̃ ὄρȣς. ἔστι δὲ χείμαῤῥος ὑπ' αὐτὸ κ̀ ἐλαῖαι κ̀ ναὸς μαρτύρων τῶν τεσσαράκοντα· ὑποκάτωθεν δὲ τῶν τοιȣ́των ὀλίγον· πλησίον τȣ̃ εἰρημένȣ χειμάῤῥȣ· πρὸς ἀνατολὰς εἴ τις ἀπείδοι· ὑπὸ τὸ ὄρος δηλαδὴ τȣ̃το, ἔστι κ̀ ἡ ἀκρότομος ἐκεῖσε πέτρα· ἣν ποτὲ μωυσῆς ταύτην πλήξας τῇ ῥάβδῳ αὐτȣ̃, ἐξῆλθον ἐκ ταύτης ὑδάτων πηγαὶ· κ̀ ἔπιεν ὁ λαός· ὁρῶνται δὲ καὶ εἰσέτι οἱ τȣ̃ ὕδατος πόροι· ἕνδεκα ȣ̃σαι ὀπαί. ἡ δὲ τοιαύτη πέτρα ἔστι μὲν τετράγωνος μεγάλη· ȣ̉κ ἐῤῥιζωμένη δέ· ȣ̉́τε ἐν τῇ γῇ, ȣ̉́τε τοῖς σύνεγγυς ȣ̉̃σι κρημνοῖς· ἀλλ' ἄνωθεν τȣ̃ ὄρȣς ἀποτμηθεῖσα μέρος κατῆλθεν ἐκεῖ· ὡς κ̀ ἄλλαι πολλαὶ κἀκεῖσε κ̀ ἀλλαχȣ̃ τῷ ὁμοίῳ κατῆλθον τρόπῳ. διὰ τȣ̃το ὡς ἡγȣ̃μαι κ̀ ἀκρότομος κέκληται· ὅτι ἐκ τȣ̃ ὄρȣς ἀποτμηθεῖσα τȣ̃ κρημνȣ̃ κατῆλθε. κἀκεῖθεν ȣ̃ν ἐξελθόντες καί τινα καθίσματα μοναχῶν κ̀ ἐκκλησίας ἑωρακότες, ἀπήλθομεν κ̀ εἰς τὸ τȣ̃ ὁσίȣ ἰωάννȣ τȣ̃ τῆς κλίμακος σπήλαιον· ἐν ᾧ δηλαδὴ· τόν τε τεσσαρακονταετῆ τῆς ἀσκήσεως χρόνον ȣ̃τος διήνυσε· θωλᾶς δὲ κ̀ εἰσέτι τῷ χώρῳ τȣ́τῳ ὄνομα. ἔστιν ȣ̃ν τὸ σπήλαιον μικρὸν πλησίον χειμάῤῥȣ· ὕδωρ πλȣτῶν ἐγγύς· ὅπερ τὸ ἀναγκαιότερον τοῖς ἐκεῖσε ἦν· ȣ̉δεμιᾶς ἑτέρας παραψυχῆς ἢ σωματικῆς τροφῆς, εὐπορȣ̃ντος τȣ̃ τόπȣ ἐκείνȣ, διὰ τὸ εἶναι ἔρημον· διΐσταται δὲ τὸ τοιȣ̃τον οἴκημα ἤτοι τὸ σπήλαιον, τȣ̃ μοναστηρίȣ, ὡσεὶ μίλια τέσσαρα. ἕτερα ἑωρακότες ἐν τῷ σιναίῳ ὄρει, αὖθις ὑπεστρέψαμεν εἰς αἴγυπτον διὰ τῆς ἐρήμȣ ὁδεύσαντες· ἐπεὶ ἅπας ὁ τόπος ἐκεῖνος

ἐρη-

ἔρημός ἐστι ϗ ἀνθρώπων ϗ ζώων ϗ πετεινῶν ϗ ὑδάτων· σχεδὸν μὴ μόνον ἀπὸ τῆς αἰγύπτȣ ἕως τὸ σίναιον· ϗ τὴν τῆς ἐρυθρᾶς παράλιον ἅπασαν, ἀλλὰ ϗ ἀπὸ τȣ̃ σιναίȣ ἕως τῶν ὁρίων ἰνδίας ϗ περσίδος πρὸς βοῤῥᾶν, μηνῶν ἓξ ὥς φασιν ἢ ϗ ἐπέκεινα διάστημα· ὅλη ὑπάρχει ἡ γῆ ἐκείνη ἀμμώδης· ἄνυδρος· κατεψυγμένη ϗ ἔρημος· πλὴν ἔν τισι μέρεσι ταύτης εὑρίσκονταί τινες ἄραβες οἰκȣ̃ντες πάσης ἀνθρωπίνης ἐστερημένοι ἀνέσεως· γυμνοί τινες ϗ ἀπέριττοι ὄντες· κλέπται δὲ ἐσταμάλιστα. ἐν τῷ ἄκρῳ δὲ τȣ̃ τῆς ἐρυθρᾶς θαλαττίȣ κόλπȣ ἀνθυποστρέψαντες ȣ̃ προεμνήσθημεν, εἴδομεν ἐν τȣ́τῳ τὸ ὑπὸ γῆν ὄρυγμα· ὃ ἤρξατο μὲν ἀλέξανδρος ὁ μακεδὼν ποιῆσαι, βȣλόμενος τὰς δύο ἑνῶσαι θαλάσσας ἀλλήλας· τήν τ' ἐρυθρὰν ϗ τὴν βόρειον ταύτην· ἐπεὶ ἐγγὺς ἑκατέρων ἐστὶ τὸ διάστημα, ὡς ἡμερῶν τριῶν· ȣ̓κ ἐπλήρωσε δὲ τὸ ἔργον τȣ̃το εἰς τέλος· ȣ̓δὲ τὴν αἴγυπτον ὥς τινα νῆσον διὰ τȣ́τȣ ἀπετέλεσεν ὡς ἐβȣ́λετο· ȣ̓κ οἶδ' ὅθεν κωλυθείς. ἐκ τῆς αἰγύπτȣ τοιγαρȣ̃ν ἐξελθόντες· αὖθις διὰ πόλεως τῆς γάζης ϗ τῶν τοιȣ́των ὁδοιπορήσαντες, δι' ἡμερῶν ιβ' ἀνήλθομεν σὺν θεῷ ϗ εἰς τὴν ἁγίαν πόλιν ἱερȣσαλήμ. ἔστι δὲ τὰ ἱεροσόλυμα ϗ ἅπασα ἡ σύνεγγυς ἰȣδαία χώρα πολλὰ ὄρη πεδινά τινα ἀλλήλων ἐχόμενα· πετρώδη ϗ δυσδιόδευτα· τοῖς ἐγγιζωμένοις μακρμάροις ϗ τοῖς μὴ τοιȣ́τοις καθυποστρωμένοις σχεδὸν ἄπας ὢν ἐκεῖνος· πλὴν ϗ ȣ̔́τω θέσεως ἔχοντος τȣ̃ χώρȣ, ϗ ἄμπελοι ϗ συκαῖ μικραὶ ϗ ἐλαῖαι μάλιστα εἰς πλῆθος εἰσίν· ἔν τε τοῖς περιχώροις ἱερȣσαλὴμ· ϗ περὶ αὐτὴν κύκλῳ. ἔστιν ȣ̓̃ν ἡ πόλις ἱερȣσαλὴμ τὸ πλέον αὐτῆς τῶν τειχῶν, ἐκ βάθρων αὐτῶν ἠφανισμένον ἕως ἐδάφȣς γῆς· πλὴν ἵστατο ἐπάνω ὄρȣς μικρȣ̃ πεδινȣ̃. εἴη δὲ ἄρα ὡσεὶ μίλια πέντε ὁ περίκυκλος αὐτῆς. οἰκοδομηθεῖσα δὲ νῦν ἀναμέσον δύο χειμάῤῥων· τȣ̃τε τῶν κέδρων· περὶ ȣ̃ φασι ϗ οἱ εὐαγγελισταί· ϗ τȣ̃ κλαυθμῶνος. ἐν ᾧ ἐστι ϗ ὁ λεγόμενος τȣ̃ κεραμέως ἀγρός. ἔστι δὲ εἰς τὸ ὑψηλότερον αὐτῆς μέρος ἱστάμενος εἰσέτι ϗ ὁ λεγόμενος πύργος τȣ̃ προφήτȣ δαυὶδ· μέγας ἄγαν ϗ τετράγωνος· ϗ σύνεγγυς αὐτȣ̃ καστέλλιον ἕτερον ὕστερον οἰκοδομηθὲν παρὰ τῶν ἀγαρηνῶν. ἐκ τȣ̃ πύργȣ ȣ̓̃ν τȣ́τȣ εἰ πρὸς ἀνατολὰς ἡλίȣ ἀπείδοιμεν, ὁρῶμεν ἐν τοῖς εὐωνύμοις τῆς πόλεως ἑστῶτα τὸν περιβόητον ϗ μέγαν τῆς ἁγίας ἀναστάσεως τȣ̃ χριςȣ̃ ναόν· ἔνθα δηλαδὴ ὁ ζωοποιὸς αὐτȣ̃ ἐστὶ τάφος ἐντός. ὑπάρχει δὲ ὁ τοιȣ̃τος θεῖος ναὸς παμμεγέθης λίαν· στρογγυλοειδὴς ὑπὸ μεγίστων τεσσάρων πινσῶν ϗ κιόνων αὖ μεγάλων τε ϗ μικρῶν· τῶν τε ὑποκάτω· ϗ τῶν ἐν τοῖς κατηχȣμένοις ἱσταμένων πολυχρόων πεντήκοντα μετρȣμένων τὸν ἀριθμόν. ἐν τȣ́τοις ὡς εἰκὸς ȣ̔̃τος ὁ ἱερὸς στηρίζεται ναός. κτίσις δὲ ȣ̔̃τος ὡς ϗ ἄλλοι πολλοὶ τῶν ἐκεῖσε ναῶν, τȣ̃ ἁγίȣ ϗ μεγάλȣ ἐν βασιλεῦσι κωνςαντίνȣ τȣ̃ πάλαι. ἔχει δὲ ὁ ναὸς ȣ̔̃τος τρȣ́λας δύο· ὧν ἡ μὲν ἐστιν

αὐτῶν

αὐτῶν ὑπεράνω ἐσκεπασμένη διὰ στοᾶς κατὰ τὴν τάξιν τῶν τοιούτων· θατέρα δὲ πρὸς δύσμας οὖσα· ἥτις ἄρα τῆς εἰρημένης κατὰ πολὺ ὑπάρχει μεγίστη. αὕτη ἐστὶν ἀσκεπὴς ἄνωθεν διόλου· διὰ τὸ εἶναι εὐθὺς ὑποκάτω τὸν ζωηφόρον τοῦ κυρίου τάφον. εἰ γὰρ καὶ αὕτη ἄνωθεν περικεκαλυμμένη ἦν· ἔμελλεν εἶναι σκοτεινὸς ὁ τόπος· ἔνθα ἐστὶ τὸ ἅγιον μνῆμα. εἰ δὲ καὶ διά τινα ἑτέραν αἰτίαν ἐάθη ἐξαρχῆς ἀσκεπης, εἰδοῖεν ἂν οἱ ταύτην οὕτω κατασκευάσαντες ἀπαρχῆς. εὐθὺς οὖν εἰσερχόμενοι ἐν τῷ μεγάλῳ ναῷ τούτῳ, ὁρῶμεν τὸν τόπον ἔνθα ἡ ἀποκαθήλωσις τοῦ δεσποτικοῦ ἐγένετο σώματος. εἰς τάξιν γὰρ μνήματος, ἐν τῷ ἐδάφει τῆς ἐκκλησίας κατεσκευάσθη· ἐκεῖ γὰρ μετὰ τὸ καταγαγεῖν αὐτὸν ἀπὸ τοῦ σταυροῦ καταθέντες· καὶ τὰ εἰθισμένα ἰουδαίοις τελέσαντες, τῷ τάφῳ κατέθεντο. διΐσταται ἀπὸ τοῦ τοιούτου τόπου τὸ ζωοποιὸν μνῆμα, βήματα ποδῶν δέκα ἀνοικτά. ὁμοίως δὲ καὶ ὁ ἅγιος γολγοθᾶς ἔνθα ἐσταυρώθη ὁ χριστὸς· ἀπέχοι ἂν ἕτερα δέκα βήματα πρὸς νότον ἀπὸ τοῦ τόπου οὗ εἴπομεν τῆς ἀποκαθηλώσεως. ἐν τοῖς δεξιοῖς δὲ τοῦ μεγάλου τούτου ὑπάρχει ὁ γολγοθᾶς· ἐπάνω κρημνώδους πέτρας τεθεμελιωμένος ὢν· ἀνώγεον δέ· ναὸς μικρὸς· πλὴν ὡραῖος. ἐν δὲ τοῖς ἀριστεροῖς τούτου ἔξω τοῦ ἁγίου βήματος, ἐπάγη τωτότε ὁ δεσποτικὸς σταυρὸς ἐν τῇ ῥιζηιμαίᾳ πέτρᾳ ταύτῃ· ἥτις ἄρα καὶ σχισθεῖσα μέρος αὐτῆς ἄνωθεν, ὑποκάτω ἐσχισμένη μετρίως ὁρᾶται. ἔνθα καὶ οἱ ἴβηρες ὕστερον μέρος τι τοῦ ναοῦ ἀποκόψαντες, μικρὸν εὐκτήριον κατεσκεύασαν. τὸ δὲ πανάγιον τοῦ χριστοῦ μνῆμα, ἐστὶν ὑποκάτω ἧς εἰρήκαμεν ἀσκεποῦς τρούλης· κεκρυμμένον μὲν ὂν ὑπὸ γῆν εἰς βάθος· ὡς ἐφάνη εὔλογον τοῖς ἐξαρχῆς κατασκευάσασιν. ἐπάνω δὲ τούτου ἐν τῇ ἐπιφανείᾳ τοῦ ἐδάφους, ᾠκοδόμηται κουβούκλιον κύκλωθεν στηριζόμενον κίοσι λεπτοῖς· ἔνδον δὲ διεμερίσθη τοῖς τεχνίταις εἰς οἰκίδια δύο τοῦτο· ὧν τὸ μὲν ἐκτὸς μεῖζον ἐστὶ τοῦ ἐνδοτέρου· τὸ δὲ ἐνδότερον ἔνθα ὑποκάτω αὐτοῦ ὑπάρχει τὸ ἅγιον καὶ ζωηφόρον τοῦ χριστοῦ μνῆμα· μόλις ἂν λάβοι ἔνδον ἄνδρας δέκα· καὶ τοῦτο ἐστενωμένως. κατεσκευάσθη δὲ εἰς αὐτὸν τὸν τόπον τοῦ πρὸς τοῦ μνήματος τοῦ κυρίου ὑπὸ τῶν τεχνιτῶν εἰς τάξιν σπηλαίου διὰ στοᾶς· καὶ ὡς νῦν ἔχουσι θέσεως οἱ τάφοι τῶν χριστιανῶν· ἀπ' ἀνατολῶν γὰρ εἰς δυσμὰς ἐστὶ τὸ εὖρος αὐτῶν· οὕτω καὶ αὐτὸ θέσεως ἔχει· καλύπτεται δὲ ἄνωθεν τὸ τοιοῦτον καὶ μαρμάρῳ λευκῷ· τὸ μὲν εὖρος αὐτοῦ πιθαμῶν ὑπάρχει ἐννέα· τὸ δὲ πλάτος ὂν τεσσάρων. ἀπεώρηνται ὑπεράνω τούτου ἐν τῇ στοᾷ· καὶ φωταγωγοὶ κανδῆλαι ἀεννάως πλουτοῦσαι τὸ φῶς. αἱ πᾶσαι δέ εἰσιν ἓξ καὶ τριάκοντα. κατὰ τὸ μεσαίτατον δὲ τοῦ ναοῦ τῆς ἀσκεποῦς τρούλης· ὁ θεῖος τάφος εὑρίσκεται ὤν· ὁ γὰρ τῇ θέσει ἐνδότερος νομιζόμενος ναὸς, ὁ καὶ τὸ βῆμα πλουτῶν τῶν ὀρθοδόξων· κατὰ πολὺ δὲ ἐλάττων ὢν τοῦ κεκτημένου τὸ δεσποτικὸν μνῆμα. οὗτος ἐν τῷ μέσῳ αὐτοῦ, τὸ μέσον δείκνυσι τῆς γῆς· δι' ὀμφαλοῦ

φαλοῦ

φαλȣ̃ τινος γλυπτȣ̃ ἐκ μαρμάρȣ. ἐν τῷ ἀριστερῷ δὲ μέρει τȣ̃ εἰρημένȣ ναȣ̃, ἐστὶ φυλαττόμενον ἐν τῷ τοίχῳ διὰ καγγέλων σιδηρῶν ϰ̀ μέρος τὶ τȣ̃ κίονος ἔνθα ὁ κύριος ἐν τῷ πάθȣς αὐτȣ̃ καιρῷ δεθεὶς ἐμαςίχθη. καθιςόρηται δὲ ὁ ναὸς ἅπας· ὑπεράνω μάλιςα τῆς ὀρθομαρμαρώσεως διὰ ψηφίδων, ἔχων ἁγίων μορφάς· προφητῶν ἀποςόλων ϰ̀ μαρτύρων· ϰ̀ αὐτὰ τὰ πάθη τȣ̃ κυρίȣ. τὰ δὲ γράμματα· ἃ δηλοῖ τὰ ὀνόματα τῶν ἁγίων· τὰ μὲν ἐςὶν αὐτῶν ἑλληνικὰ· ἤτοι τῆς ἡμετέρας ταύτης γλώττης· τὰ δὲ λατίνικα. ἐφ' ὁμοίῳ δὲ τρόπῳ· ϰ̀ ἐν τῷ μεγάλῳ ναῷ τῆς βηθλεέμ· ϰ̀ ἐν ἄλλαις δή τισιν ἐκκλησίαις εὑρίσκεται· αἳ δηλονότι διὰ τȣ̃ μεγάλȣ κωνςαντίνȣ ἐκτίσθησαν. αἰσχυνέσθωσαν ȣ̃ν ϰ̀ ἐν τȣ́τῳ εἰκονομάχοι· ὅτι ἐν ταῖς ἡμέραις τȣ̃ βασιλέως τȣ́τȣ ϰ̀ πρότερον, εἰκόνες ἁγίων τοῖς ἱεροῖς ναοῖς ἀνεστήλοντο. τοιγαρȣ̃ν ὄπισθεν τȣ̃ βήματος τȣ̃ μεγάλȣ τȣ́τȣ ναοῦ τῆς ἁγίας ἀναςάσεως ἔςι πύλη διὰ ἑώας· κἀκεῖθεν κατερχόμενοι διὰ βαθμίδων ὅλων τεσσαράκοντα, εὑρίσκομεν ναὸν ὑπόγαιον· ȣ̃τινος ἄρα μόνη ἡ τρȣ́λα ὁρᾶται ἐν μέσῳ κήπȣ· τὰ δὲ ἕτερα αὐτὰ τῶν κτισμάτων ἅπαντα ἐςὶν ὑπὸ γῆν. ἐν τοῖς δεξιοῖς ȣ̃ν τȣ̃ ναȣ̃ τȣ́τȣ, ὑποκάτω σπηλαίȣ μικρȣ̃, εὑρέθησαν παρὰ τῆς μακαρίας ἑλενης τότε οἱ ςαυροὶ κρυπτόμενοι· ὅ, τε δεσποτικὸς ϰ̀ οἱ τῶν λῃςῶν. ἔστι δὲ συγκεκολλημένος τῷ τοιȣ́τῳ ναῷ ϰ̀ ἕτερος ναὸς ἀναμεταξὺ τȣ̃ μεγάλȣ ναȣ̃ ὢν ἱςάμενος, ϰ̀ τȣ̃ εἰρημένȣ· ὅςις διὰ τεσσάρων ςηρίζεται κιόνων· ἐξ ὧν εἷς τῶν τοιȣ́των κιόνων, ἐσαεὶ ὑδροςατεῖ ϰ̀ κατάβροχος ὁρᾶται· τῶν λοιπῶν τριῶν καταξήρων πάντοτε ὄντων ϰ̀ ὁρωμένων· ἐν τοῖς ἀριςεροῖς δὲ τȣ̃ ναȣ̃ ἵςαται ὁ ὑδροςάζων. τȣ́των ȣ̃τως ἐχόντων, κύκλῳ τȣ̃ μεγάλȣ ναȣ̃ ἔνθα ἡ ἀσκεπὴς τρȣ́λα, ᾠκοδόμησαν ὕστερον ϰ̀ οἱ αἱρετικοὶ διὰ χρημάτων τῇ ἐπιτροπῇ τῶν ἀγαρηνῶν, καταγώγια δῆθεν ἐκκλησίας αὐτῶν· ϰ̀ βήματα εἰς τὸ ψάλλειν, ἐπὶ μᾶλλον παροξύνειν τὸ θεῖον, ἐν τῷ τοιȣ́τῳ ἱςάμενοι τόπῳ. εἰσὶ δὲ ȣ̃τοι ἀρμένιοι· νεςοριανοί· ἰακωβῖται· μονοθελῖται, ϰ̀ αἰθίοπες οἵτινες κατὰ πάντα συμφωνȣ̃σι τοῖς θεοπασχίταις ἰακωβίταις ϰ̀ αἰγυπτίοις ἔν τε τοῖς ἀζύμοις ϰ̀ τῇ περιτομῇ τῆς σαρκὸς αὐτῶν. εἰσὶ δὲ ϰ̀ λατίνοι ἐντός. ταῦτα ȣ̃ν ἃ εἰρήκαμεν· τάς τε ἐκκλησίας τȣ̃ ἁγίȣ δηλονότι γολγοθᾶ· ϰ̀ τῶν ἰβήρων ὑποκάτω· ἔνθα τε εὑρέθησαν οἱ ςαυροὶ· τὰ τῶν αἱρετικῶν καταγώγια ϰ̀ τἄλλα· ϰ̀ τὸν πάνσεπτον τȣ̃ κυρίȣ τάφον, εἷς ϰ̀ ὁ αὐτὸς ἐμπεριέχει ἐντὸς ναὸς ἅπαντα· τῷόντι γὰρ ποικίλος ᾠκοδόμηται ȣ̃τος ϰ̀ μεγαλοπρεπής· ϰ̀ τὰ πρωτεῖα μόνῃ ταύτῃ τῇ ἁγίᾳ σοφίᾳ τῇ ἐν κωνςαντινȣπόλει παραχωρήσει· δυσδιήγητος γὰρ αὐτȣ̃ ϰ̀ ἡ καλλονὴ ϰ̀ ἡ θέσις, ϰ̀ τὸ πολυέξοδον ἐν τῷ κτίζεσθαι ἐν τῷ τοιȣ́τῳ τόπῳ ἐνδεεῖ τῶν ἀναγκαίων τῆς τοιαύτης χρείας. μιᾷ ȣ̃ν πύλῃ ϰ̀ μόνῃ ὁ περιβόητος ȣ̃τος νῦν χρῆται ναός· ἥτις ἄρα ἐν τοῖς δεξιοῖς αὐτȣ̃ ἐςὶν ἐκ πλαγίȣ. πλὴν

O o ϰ̀ ἑτέ-

ϗ ἑτέρα πύλη ὁμοία σύνεγγυς ταύτη ἦν· ἀλλ᾽ ἐκ παλαιȣ̃ ἐκτίσθη. ἔχει δὲ ἔμπροσθεν εὐθὺς τῶν πυλῶν τȣ́των ὁ ναὸς ϗ αὐλὴν μεγίςην τετράγωνον κατεςρωμένην πλαξὶν ἐκ παλαιȣ̃· ἐν τῷ ἀριςτερῷ δὲ τῆς αὐλῆς τȣ̃ ναȣ̃ μέρει εὐθὺς ἐν τῇ πύλῃ τȣ́τȣ ἐκτὸς (seu ἐντὸς)· ἐςτὶ ϗ καμπανάριον συγκεκολλημένον τῷ τοίχῳ τῆς ἐκκλησίας ἧς εἰρήκαμεν. ἔςτι δὲ τȣ̃το σῶον ἱςάμενον εἰσέτι· παμμέγιςον ὂν ϗ λίαν ὡραιότατον, οἷον ὡς οἶμαι· δυσκόλως ἂν εὑρεθείη ἐν ὅλῃ τῇ οἰκȣμένῃ τοιȣ̃τον· ἔν τε ὕψει ϗ κάλλει· ϗ τῇ λοιπῇ μεγαλοπρεπεῖ ϗ πολυεξόδῳ φαντασίᾳ. ὑπ᾽ αὐτὸν δὲ ϗ ἕτερος ναὸς ᾠκοδόμηται· μικρὸς ἴσως ὡς πρὸς τὸν μέγαν ȣ̔͂τινος προεμνήσθημεν * χριςὸ· ἡ ἀνάςασις ϗ αὐτὸς ἐπικεκλημένος· διὰ τὸ πρῶτον ὠφθῆναι χριςὸν ἐκ τῶν νεκρῶν ἐγερθέντα, ἐν τῷ αὐτῷ τόπῳ· κήπῳ τότε ὄντι· τῇ μαγδαληνῇ μαρίᾳ, ϗ εἰπεῖν αὐτῇ τὸ· μή μȣ ἅπτȣ. ὅ, τε γὰρ τόπος τȣ̃ δεσποτικȣ̃ τάφȣ ϗ τὸ πλεῖςον τȣ̃ ναȣ̃ ϗ τῶν προαυλίων, ἅπαντα τότε κῆπος ἦν· ϗ ἔξω τῆς πόλεως, ὡς ϗ ἐκ τῶν ἱερῶν εὐαγγελίων τȣ̃το διδασκόμεθα. ὁ δὲ λιθόςρωτος ἡ αὐλὴ πάντως ἦν ϗ τὰ περὶ αὐτήν· ἧς εἰρήκαμεν ἄνωθεν. εὐθὺς γὰρ μετὰ τὴν αὐλὴν ταύτην ἐντός ἐςι ϗ ὁ γολγοθᾶς, ἔνθα χριςὸς ἐςαύρωται. κύκλῳ ȣ̃ν τȣ̃ μεγάλȣ τȣ́τȣ ναȣ̃ πρὸς δύσιν ἡλίȣ, καὶ τὰ πατριαρχικὰ κελλία, συγκεκολλημένα τȣ́τῳ· ἅπαντα διὰ θόλȣ ϗ καμάρων κατεσκευασμένα· ὡς ϗ ἅπαντες οἱ οἶκοι τῶν ἱεροσολύμων ϗ τῶν περιχώρων αὐτοῖς τῷ ὁμοίῳ ἐκτίσθησαν τρόπῳ, διὰ τὸ μὴ ἔχειν ξύλα εἰς κατασκευὴν ὡς οἶμαι τῶν οἴκων, ȣ̔́τως ἐπινοηθὲν γίνεσθαι. ταῦτα ȣ̃ν εἰρήσθω περὶ τȣ̃ μεγάλȣ ναȣ̃ ϗ τῶν σὺν αὐτῷ· ἐν ᾧ ἐςιν ὁ ζωοποιὸς δηλονότι τȣ̃ κυρίȣ τάφος. ἐγγὺς δὲ τȣ̃ πύργȣ δαυὶδ ȣ̔͂τινος προεμνήσθημεν, πρὸς νότον, εὐθὺς εὑρίσκεται ϗ ἡ ἁγία σιών. ἔνδον γὰρ αὐτῆς τῆς πόλεως ἦν· σιὼν δὲ πολυώνυμος ἄρα· λέγεται σιών, ϗ αὐτὴ ἱερȣσαλὴμ ϗ τὰ περὶ αὐτὴν παρὰ τοῖς προφήταις. καλεῖται σιὼν ϗ ἅπασα ἡ τῶν πιςῶν ἐκκλησία. λέγεται σιών, ϗ αὐτὸς ὁ ναὸς περὶ ȣ̔͂ φημι νῦν· ὅς τις πρότερον ἦν ϗ τȣ̃ ἀδελφοθέȣ ἰακώβȣ καθέδρα. μέγιςος δὲ ὁ τοιȣ̃τος ναὸς ἦν· ἀλλὰ ὁ χρόνος ϗ τȣ̃τον ἐκ θεμελίων αὐτῶν εἰς γῆν κατέβαλε· μόνης τῆς ςοᾶς τȣ̃ μεγάλȣ αὐτȣ̃ βήματος ἱςαμένης εἰσέτι ὡραιωτάτης ϗ λίαν μεγίςης ȣ̓́σης. ἐν τοῖς δεξιοῖς ȣ̃ν αὐτȣ̃, κατεσκευάσθησαν ὑπὸ τῶν λατίνων ϗ ἐκκλησίαι τινὲς μικραὶ ϗ μάλιςα ἐν ἀνωγέοις· προσκυνήματα δὲ αὗται· ἐξ ὧν τὸ ἓν τȣ̃ μυςικȣ̃ φασὶ χριςȣ̃ εἶναι δείπνȣ· τὸ δὲ ἕτερον τȣ̃ νηπτῆρος. θάτερον δὲ ἡ τȣ̃ θωμᾶ ψηλάφησις· ϗ ἡ τȣ̃ παναγίȣ πνεύματος εἰς τȣ̀ς ἁγίȣς ἀποςόλȣς κάθοδος ἐν τῷ συμπληρȣ̃σθαι τὴν ἡμέραν τῆς πεντηκοςῆς. ταῦτα ἐμπεριέχει τὸ λατίνικον μοναςτήριον· ἁγία σιὼν ϗ αὐτὸ καλȣ́μενον σήμερον. ἐν αὐτῷ τῷ τόπῳ σύνεγγυς τῆς πάλαι σιὼν ἦν ϗ ὁ τȣ̃ εὐαγγελιςȣ̃ ἰωάννȣ οἶκος· ἐν ᾧ ϗ ἡ θεοτόκος καταμένȣσα τῶν

ἐπι-

ἐπιγείων μετέςη· κ̀ ἐν τῇ γεθσημανῇ ἐτάφη· ἥτις ἄρα διΐςαται τȣ̃ τοιȣ́τȣ οἴκȣ ὡσεὶ μίλιον ἓν· ἐγγὺς ταφεῖσα τȣ̃ σπηλαίȣ· ἐν ᾧ ὁ ὑιὸς αὐτῆς κ̀ θεὸς παρεδόθη τοῖς ἰȣδαίοις τῇ νυκτὶ τȣ̃ πάθȣς. ἔστι δὲ ὁ ναὸς ἔνθα ὁ τάφος αὐτῆς ἐςιν, ἐν αὐτῷ τῷ χειμάῤῥῳ τῶν κέδρων. ȣ̓κ οἶδα δὲ τίνι λόγῳ ἐπὶ τοσȣ̃τον ἐγένετο τὸ μνῆμα τῆς παρθένȣ ὑπόβαθρον ȣ̃τως· ὥςτε κατέρχεσθαι ὑπὸ γῆν, διὰ βαθμίδων τεσσαρακονταεννέα κ̀ εὑρίσκειν αὐτό. ἔστι δὲ ὁ ναὸς· ἐν ᾧ ὁ τάφος τῆς θεοτόκȣ, ȣ̓ τοσȣ̃τον μέγας· πλὴν κ̀ ȣ̃τος πολυέξοδος. ὁ δὲ τάφος ὕςερον διὰ κȣβȣκλίȣ κ̀ αὐτὸς κατασκευασθεὶς, ἵςαται ἔμπροσθεν τῆς ἁγίας κ̀ μεγάλης τȣ̃ ναȣ̃ τραπέζης. ἀπέχοι ἂν ἡ γεθσημανὴ αὕτη τȣ̃ τείχȣς τῆς πόλεως ἱερȣσαλὴμ ὡσεὶ τόξȣ βολῇ. μέσον δὲ τȣ̃ διαςήματος τȣ́τȣ ἐν τῷ ἀναβαίνειν εἰς ἱερȣσαλὴμ, ἔστι κ̀ ὁ τόπος ἔνθα ὁ πρωτόμαρτυς ἐλιθάσθη ςτέφανος. ἦν δὲ κ̀ αὐτȣ̃ ὁ τάφος ἧς ἐμνήσθημεν ἁγία σιών· σύνεγγυς τȣ̃ ναȣ̃ τȣ́τȣ· πέραν δὲ τȣ̃ χειμάῤῥȣ τῶν κέδρων κατὰ ἀνατολὰς ἡλίȣ· ὑπὸ τὸ ὄρος τῶν ἐλαιῶν, ὑπάρχει κ̀ τὸ σπήλαιον τῆς δεσποτικῆς παραδόσεως· χωρȣ̃ν ἐντὸς πλείω τῶν ἑκατὸν ἀνδρῶν. ἐν τοῖς δεξιοῖς αὐτȣ̃· εἰ πρὸς ἕω ἀπείδοι τὶς· ὡσεὶ λίθȣ βολὴ ἀληθῶς· ἔςι κ̀ ὁ τόπος ἔνθα τῇ νυκτὶ τȣ̃ πάθȣς ἀπελθὼν ὁ χριςὸς προσηύξατο τρίς· ἐν ᾧ κ̀ ναὸς ᾠκοδόμητο· πλὴν κ̀ τȣ̃τον ὁ χρόνος ἠφάνισε τέλεον. κἀκεῖθεν λοιπὸν ἀνέβημεν κ̀ εἰς τὸ ὄρος τῶν ἐλαιῶν· ἔςι δὲ ἐγγὺς μίλιον ἓν ἀπὸ τῆς γεθσημανῆ κ̀ τῶν τοιȣ́των ἕως τῆς αὐτῆς κορυφῆς· ἵςαται δὲ τὸ ὄρος τȣ̃το κατέναντι τῆς πόλεως ἱερȣσαλὴμ· κατὰ ἀνατολὰς ὂν τȣ̃ ἡλίȣ· ὑψηλότερον δὲ ὑπάρχει τȣ̃ τῆς ἱερȣσαλὴμ ὀλίγον· μικρὸν ὄρος ὂν κ̀ εἰσέτι τοῖς δένδροις κ̀ φυτοῖς τῶν ἐλαιῶν ὑπάρχον κατάκομον. ᾠκοδόμηται δὲ ναὸς κατὰ κορυφῆς αὐτȣ̃ μέγιςος τῷ σωτῆρι χριςῷ δι' ἑλένης τῆς ἁγίας ἐκείνης· ἐν αὐτῷ τῷ τόπῳ· ἔνθα τοῖς ἀποςόλοις διαλεγόμενος ὁ κύριος μετὰ τὴν ἀνάςασιν αὐτȣ̃, εἰς ȣ̓ρανὲς διὰ νεφέλης ἀνῆλθε τȣ́των ὁρώντων. ἔςι δὲ ὁ ναὸς ςρογγυλοειδὴς κ̀ αὐτός· κ̀ ἄνωθεν ἀσκεπὴς ἡ τρȣ̃λλα αὐτȣ̃ κατὰ τὸν τῆς ἁγίας ἀναςάσεως· διὰ τὸ εἶναι ὑποκάτω κ̀ ταύτης κουβȣ́κλιον περικαλλὲς ᾠκοδομηθὲν τȣ̃ ναȣ̃ μέσον· ἔνθα τὸ τελευταῖον βῆμα τȣ̃ δεσποτικȣ̃ πατῆσαν ποδὸς ἐν γῇ ἀνελήφθη εἰς ȣ̓ρανὲς ὁ κύριος. ἔςι δὲ τὸ μὲν ἥμισυ τȣ̃ τοιȣ́τȣ ναȣ̃, κεχαλασμένον νῦν τὸ πρὸς ἕω δηλονότι· τὸ δὲ μῆκος αὐτȣ̃ ἔςι κ̀ τȣ́τȣ βήματα μὲν ποδῶν ἐξηπλωμένα εἴκοσι κ̀ πέντε· πλάτος δὲ ἐννεακαίδεκα· ἔξωθεν δὲ αὐτȣ̃ τῆς πύλης· ὀλίγον διάςημα ἐν τοῖς δεξιοῖς· εἰς αὐτὰ τὰ ὑποκάτω καμαρικὰ κ̀ τὰ θεμέλια τȣ̃ μεγάλȣ τȣ́τȣ ναȣ̃· ὁρᾶται κ̀ ὁ τάφος τῆς ἁγίας πελαγίας· ἐσκεπασμένος ὢν ἄνωθεν λίθῳ μαρμαρίνῳ. οἶμαι δὲ ὡς ὅτι ἔνθα ὁ τάφος ȣ̃τος ἐςὶ· τὸ κελλίον αὐτῆς ἦν ἔνθα ἦλθε κ̀ ἤσκησεν ἐκεῖ. ἐν τοῖς ἀριςεροῖς δὲ τȣ̃ ναȣ̃ τȣ́τȣ τῆς ἀναλήψεως ὡσεὶ τόξȣ βολῇ διάςημα, κατὰ κο-

ρυφὴν τȣ̃ ὄρȣς τῶν ἐλαιῶν, ἢ ϗ πλέον τὶ, ὑπάρχει ϗ ἡ λεγομένη μικρὰ γαλιλαία· ἐν ᾗ πρῶτον τοῖς ἀποςόλοις ὤφθη χριςὸς ἐγερθεὶς ἐκ νεκρῶν. πάλιν δὲ ἐν τοῖς δεξιοῖς τȣ̃ ὄρȣς ἐλαιῶν ὑποκάτω αὐτȣ̃ ὡσεὶ μιλίȣ διάςημα ἑνὸς, ὑπάρχει ἡ βηθανία ἡ τȣ̃ λαζάρȣ πατρὶς· πολίχνιόν τι σμικρότατον ἦν· ἐν ᾧ ϗ ναὸς εἰσέτι ἵςαται τȣ̃ ἁγίȣ τȣ́τȣ λαζάρȣ τȣ̃ τετραημέρȣ· ἔνθα ϗ ὁ τάφος αὐτȣ̃ σήμερον ὁρᾶται· ἐξ ȣ̃περ ἐξῆλθε τῶν νεκρῶν ἀναςὰς τῇ προςάξει χριςȣ̃ τȣ̃ υἱȣ̃ τȣ̃ θεȣ̃· ἐντὸς δὲ τȣ̃ τοιȣ́τȣ ναȣ̃ εἰσὶ ϗ οἱ τάφοι τῶν ἀδελφῶν λαζάρȣ, μαρίας τε ϗ μάρθας· ἀπέχει δὲ τῶν ἱεροσολύμων ἡ βηθανία μίλια δύο ϗ ἥμισυ· κατὰ ἀνατολὰς τῆς ἱερȣσαλὴμ. ἀπὸ δὲ τῆς γεθσημανῆς ἥτις ἄρα ἐςὶν ἐν τῷ χειμάῤῥῳ τῶν κέδρων ὡς προείπομεν· ἕως τῆς κολυμβήθρας τȣ̃ σιλωὰμ εἴη ἂν μίλιον ἥμισυ· ὑπὸ γῆν ȣ̃σης ἐν αὐτῷ τῷ χειμάῤῥῳ τῶν κέδρων ἐν τῷ βάθει· διὰ γὰρ βαθμίδων εἰς σπήλαιόν τι συριγγοειδὲς κατερχόμενοι, εὑρίσκομεν τὸ ὕδωρ τȣ̃το ὀλίγον ὄν· ὑπεράνω δὲ τȣ̃ σιλωὰμ τȣ́τȣ ὡσεὶ τόξȣ βολῇ· σύνεγγυς τȣ̃ τείχȣς τῆς πόλεως ἱερȣσαλὴμ· ἐντὸς δὲ, ἦν ϗ ὁ πολυθρύλλητος ἐκεῖνος ἰȣδαϊκὸς ναὸς ποτὲ κατεσκευασμένος. ἦν δὲ ϗ τὸ πτερύγιον τȣ̃ ἱερȣ̃ τȣ̃ εἰρημένȣ ἀποβλέπον χείμαῤῥον ϗ τὸ ὄρος τῶν ἐλαιῶν. ἐξ ȣ̃ κατέβαλον τὸν ἀδελφόθεον ἰάκωβον οἱ ἰȣδαῖοι ϗ ἀπέκτειναν. ἦν δὲ ϗ ὁ ἰȣδαϊκὸς ȣ̃τος ναὸς τῇ ἀληθείᾳ εἰς τὸν χρησιμώτερον τόπον ϗ ὡραιότερον τῆς πόλεως κατεσκευασμένος· νῦν δὲ ἀντὶ τȣ́τȣ κατεσκευάσθησαν ὕςερον ὑπὸ τῶν ἀγαρηνῶν ἀναγωγοὶ δύο μεγάλοι ϗ πολυέξοδοι· ἐν οἷς εἰσερχόμενοι οἱ υἱοὶ τῆς ἀπωλείας, θεραπεύȣσι ἐπιμᾶλλον τὸν τῶν ψυχῶν τȣ̃ ἀνθρωπίνȣ γένȣς πολέμιον. τȣ̃ δὲ ἰȣδαϊκȣ̃ ναȣ̃ ϗ τῶν θεμελίων ἐκριζωθέντων αὐτῶν κατὰ τὴν τȣ̃ κυρίȣ ἀπόφασιν, ȣ̓δ᾽ ὅλως ἐν τȣ́τῳ πώποτε ἐκκλησία χριςιανῶν ᾠκοδόμηται· εἰ καί τινες πλανῶνται τὰ τῶν ἀγαρηνῶν κτίσματα εὐσεβῶν εἶναι νομίζοντες ὑπὸ ἀμαθίας. ἐν δὲ τοῖς προαυλίοις τȣ̃ πάλαι ναȣ̃, ἔςι ϗ ἡ πρὸς βοῤῥᾶν πύλη κατέναντι τȣ̃ οἴκȣ ὡς ϗ ὁ προφήτης φησί· ἦν δὲ ϗ αὕτη ἡ πύλη τῆς πόλεως ἱερȣσαλὴμ· σιδηρᾶ δὲ τὸ ἔξωθεν ὁρωμένη· ἥτις εἰσέτι διατηρεῖται κεκλεισμένη. κατέναντι δὲ τῶν προαυλίων τȣ̃ ἰȣδαϊκȣ̃ ναȣ̃ ἐντὸς τῆς πόλεως ταύτης· μετὰ τὸ εἰσελθεῖν τὴν εἰς τὸ ὄρος φέρȣσαν τῶν ἐλαιῶν, εὐθύς εἰσι ϗ τῶν θεοπατόρων οἱ οἶκοι ἰωακεὶμ ϗ τῆς ἄννης· οἵτινες ὕςερον ϗ εἰς ἐκκλησίαν μετεποιήθησαν δρομικὴν μεγάλην ϗ ὡραιοτάτην ὑπὸ τῶν εὐσεβῶν· ἀλλὰ ϗ αὐτὴ ἑάλω ὑπὸ τῶν ἀγαρηνῶν, ὡς ϗ ἄλλαι πολλαὶ, ϗ χριστιανοῖς ἐςὶν ἄβατος. περαιτέρω δὲ τȣ̃ λεγομένȣ ἱερολογίȣ ἔςι ϗ ὁ τȣ̃ πιλάτȣ οἶκος· ἤτοι τὸ πάλαι πραιτώριον. ὅπερ ϗ εἰσέτι οἶκός ἐστι τȣ̃το τῶν κρίνειν λαχόντων ἀρχόντων ἐν τῇ ἱερȣσαλὴμ. ἐγγὺς δὲ πάλιν τȣ̃ πραιτωρίȣ τȣ́τȣ, ἐν τῷ μέσῳ τῆς πόλεως εἰσὶν ἄρα ϗ οἱ τῶν μιαρῶν ἐκείνων οἶκοι ἄννα τὲ ϗ καϊάφα· κατέναντι ὄντες ἀλλήλων·

λήλων· ἠφανισμένοι μέν· καμαρικά δέ τινα ἐξ αὐτῶν σημεῖα ἵςανται μόνον εἰς ἔλεγχον τῶν ὀνομάτων ἐκείνων. εἰσὶ δὲ ἐν τῇ πόλει κ) ἕτεροι μέγισοι ναοὶ ἐξ ὧν ἦσαν τοπάλαι κ) παρθενῶνες χρισιανῶν, κ) προσευχῆς Θεϐ οἶκοι· κ) δείγματα μέγιςα τῆς πόλεως τῶν ταῦτα ᾠκοδομησάντων. ἀλλὰ κ) ϐτοι ὑπὸ τῶν ἀγαρηνῶν μετεποιήθησαν εἰς τὸ δοκϐν αὐτοῖς. ἴδομεν κ) τὸν ςαυρὸν τῶν ἰβήρων τὸ μοναςήριον· ὅπερ διΐςαται τῶν ἱεροσολύμων ὡσεὶ μίλιον ἓν κ) πλέον· πρὸς δυσμὰς ὢν τῆς ἱερϐσαλὴμ· ἔςι δὲ ὁ ναὸς ϐτος τρϐλαῖος κ) εὐρύχωρος· ἔχων κ) πολλὰ κελλία μοναχῶν περὶ αὐτὸν ἀνώγεά τε κ) κατώγεα· ὀνομάζεται δὲ ὁ ναὸς ςαυρὸς διὰ ταύτην ὡς οἶμαι τὴν αἰτίαν· ὑποκάτω τῆς ἁγίας τραπέζης τϐ ναϐ τϐτϐ ἐςὶν, ὥσπερ τις ὀμφαλὸς διὰ μαρμάρϐ· ἐν ᾧ φασὶ τόπῳ τϐς τρεῖς δαλϐς ξηρϐς ὄντας ὁ λὼτ μετὰ τὸ ἁμαρτῆσαι· ὁδηγίᾳ δηλονότι· τϐ τε ἀβραὰμ κ) μάλιςα τϐ ἱερέως ἐκείνϐ μελχισεδὲκ ἐφύτευσεν· οἵ τινες βλαςήσαντες κ) ἑνωθέντες κ) εἰς δένδρον ἓν ὑψίκομον γεγονότες· ὕςερόν τε ὑπὸ τϐ σολομῶντος τϐ δένδρϐ ἀποκοπέντος κ) ἀχρήςϐ εὑρεθέντος, ἐν τῇ οἰκοδομῇ τϐ ναϐ τϐ ὑπ' αὐτϐ κτιζομένϐ, ἐξ αὐτϐ τϐ ξύλϐ κατασκευασθῆναι ὕςερον τὸν τϐ χριςϐ ςαυρὸν οἰκονομικῶς φασι. κ) ταῦτα μὲν εἰρήσθω περὶ τϐ μοναςηρίϐ τϐ ςαυρϐ· δι' ἣν ἄρα αἰτίαν σταυρὸς ὀνομάζεται. Ἐκ τῶν ἱεροσολύμων ἀπέχει ἡ βηθλεὲμ ἐν ᾗ χριςὸς ἐγεννήθη· μίλια ἕξ. κατὰ τὸ μέσον δὲ τῆς ὁδϐ ταύτης τραχείας ϐσης, ἔςι κ) ναὸς περικαλλὴς ἠλίϐ τϐ προφήτϐ· τρϐλαῖος κ) αὐτὸς· ἔχων κελλία ἐν οἷς ποτε μοναχοὶ κατῴκϐν ἄνδρες. νῦν δὲ κ) τϐτο τὸ μοναςήριον ἔρημον πάντη μοναχῶν· πλὴν ὑπὸ τῶν εὐσεβῶν εἰσέτι κ) τϐτο κυριεύεται. ἔςι δὲ μέγεθος τϐ ναϐ τϐτϐ ὡς τϐ σταυρϐ τῶν ἰβήρων.

Ἡ δὲ ἁγία βηθλεὲμ ἔςι πρὸς νότον· ἐν τοῖς δεξιοῖς τῶν ἱεροσολύμων· εἰ κατὰ ἀνατολὰς τὶς ἀπείδοι. ἔςι δὲ ὁ ναὸς ὁ ἐν τῇ βηθλεὲμ, μέγας τῷ ὄντι κ) περιβόητος· κ) μείζων ὡς οἶμαι τϐ ναϐ τῶν ἁγίων ἀποςόλων τϐ ἐν κωνςαντινϐπόλει· ἰςαμένϐ πρὸ ὀλίγϐ. δρομικὸς δὲ κ) ϐτος· κ) ἐκεῖνος ἦν. ἔςι δὲ τὸ μὲν εὖρος τϐτϐ τϐ ἐν βηθλεὲμ ναϐ, βήματα ἀνδρὸς μεγάλα ἀνοικτὰ, πεντήκοντα κ) ἕν· τὸ δὲ πλάτος αὐτϐ, εἰσὶν ἑπτά· ςηρίζεται δὲ κ) ὑπὸ κιόνων μαρμαρίνων πεντήκοντα· ἀνὰ εἴκοσι κ) πέντε καθ' ἑκάτερον μέρος ἔχων τῶν διακϐφων αὐτϐ· ϐδ' ὅλως ςηρίζεται πινσοῖς· κ) διὰ τϐτο ἐςὶν ὁ ναὸς εὐρυχωρότερος σχεδὸν κ) ὑπὲρ τὸν τῆς ἁγίας ἀναςάσεως· ἔνθα δηλαδὴ ὁ δεσποτικὸς ἐμπεριέχεται τάφος. ἔμπροσθεν δὲ τϐ μεγάλϐ βήματος ἐν τοῖς δεξιοῖς αὐτϐ, ἔςι κ) κϐβϐκλιον περικαλλὲς μετὰ λεπτῶν κιόνων κύκλῳ συνιςαμένων· δύο ἔχων θύρας μικράς. ὑφ' ὧν εἰσερχόμενοι· κ) διὰ βαθμίδων ἐξ καὶ δεκα καταβαίνοντες, εὑρίσκομεν διὰ καμάρων, ὡς τινας δύο οἴκϐς μικρϐς· πλὴν μείζων ὁ ἀριςερὸς

ςερὸς οἶκος τȢ δεξιȢ ἐςιν. ἐν τῷ δεξιῷ ȣ̓ν τȣ́τῳ οἴκῳ εἰ πρὸς ἔω ἀπείδοιμεν, εὐθὺς ὁρῶμεν κατὰ ἀνατολὰς, αὐτὸν τὸν τόπον ἔνθα ὁ χριςὸς ἐγεννήθη. ὑποκάτω δὲ ȣ̃τος ὁ τόπος σπηλαίȣ ἐςὶ μικρȢ· ὡς τις δὲ τράπεζα ὑπεράνω τȢ ἁγίȣ τȣ́τȣ κεῖται τόπȣ· ἐν ᾗ καί τινες λειτȣργȣ̃σι· πλὴν ȣ̓χὶ πάντες οἱ ἡμέτεροι· διὰ τὸ ϗ τȣ̀ς αἱρετικȣ̀ς ἐν αὐτῷ τῷ ἁγίῳ τόπῳ εἰσέρχεσθαι ϗ λειτȣργεῖν· μᾶλλον δὲ βλασφημεῖν. ἐν τοῖς δεξιοῖς αὖθις ȣ̃ φαμεν τόπȣ ἁγίȣ· ϗ ἔναντι αὐτȢ ποδῶν ἀνοικτὰ βήματα τέσσαρα, ὁρᾶται ϗ ἡ φάτνη τῶν ἀλόγων· εἰς ἣν γεννηθεὶς ὁ κύριος ἀνεκλίθη· ἔςι δὲ αὕτη εἰς τάξιν φάτνης τῇ ἀληθείᾳ ᾠκοδομημένη· μαρμάροις δὲ τισι πολυχρόοις ἔσωθέν τε ϗ ἔξωθεν περικεκαλυμμένη· ὑποκάτω δὲ σπηλαίȣ ὑπάρχει ϗ αὕτη· ἄῤῥητόν τινα τȢ τόπȣ ἐκείνȣ πλȣτȣ̃ντος τὴν εὐωδίαν. οἱ δὲ ταῦτα κατασκευάσαντες ἐξαρχῆς, ἠδύναντο τὸ σπήλαον κρύψαι ϗ περικαλλεςέρȣς τοίχȣς ἐγεῖραι· ἢ ϗ κίονας ςῆσαι· ἀλλ' ȣ̓κ ἐκρίθη τȣ̃το εὔλογον· ἀλλὰ μᾶλλον τὴν ἀλήθειαν τȢ πράγματος ὑποδεῖξαι γυμνὴν· ϗ τὴν φάτνην ϗ τὸν τόπον· ὅτι ὑπὸ σπήλαιον ἦν. τὰ μὲν ȣ̃ν ὑποκάτω τȢ μεγάλȣ ναȢ τοιαῦτα. καθιςόρηται δὲ τὰ ὑψηλὰ τȢ ἁγίȣ ναȢ τȣ́τȣ, ὑπὸ τȢ ἐν βασιλεῦσιν ἀοιδίμȣ κυρȢ μανȣὴλ τȢ κομνηνȢ· διὰ ψήφων λεπτῶν· ὡς ἐκ τῆς εἰκόνος ἐκείνȣ ἐκεῖσε ȣ̓́σης· ϗ τῶν περὶ αὐτὴν γραμμάτων μανθάνομεν. κατέςρωται δὲ τὸ τȢ ναȢ ἔδαφος ἅπαν ὑπὸ μαρμάρων· ὅπερ δυσευρετόν ἐςι τȣ̃το ἐν τῇ παλαιςήνων γῇ. λίαν δὲ πολυέξοδα ἦν· τά τε ἐντὸς τȢ ναȢ τȣ́τȣ, ϗ τὰ ἐκτὸς. ϗ ȣ̓κ ἂν ῥαδίως ἀριθμήσαιτό τις, τὰ καταναλωθέντα τῶν χρημάτων ἐν τῇ κτίσει αὐτȢ· ϗ τῶν περὶ αὐτόν. ἅτινα ἦν κάςρον· καμπανάριον ὑψηλὸν· ἦν δὲ ἐκ βάθρων ἠφανισμένον· ἐκκλησίαι ἕτεραι ϗ οἶκοι μέγιςοι· ϗ αὐλὴ μεγάλη ὑποκάτω ἔχȣσα δοχεῖα ὑδάτων· περιςειχιζομένη τε τοῖς ἱςαμένοις τῷ τότε κίοσι μεγίςοις· ϗ ἑτέροις δή τισι κτίσμασι ϗ πύργοις· ἐξ ὧν τὰ πλείω φθαρέντα τῷ χρόνῳ, ὁ μέγιςος ναὸς εἰσέτι ἵςαται σῶος ϗ μόνος. ἔςι δὲ ἐκτὸς τῶν τοιȣ́των, ϗ χωρίον αὐτὴ ἡ βηθλεὲμ· ἔχȣσα ἐς δεῦρο ϗ ὀρθοδόξȣς κατοικȣ̃ντας ἀναμεμιγμένως τοῖς ἀσεβέσι. ὡσεὶ μίλιον δὲ ἓν πέραν τῆς βηθλεὲμ πρὸς δυσμὰς ἡλίȣ, ἔςι ϗ χωρίον μέγιςον χριςιανȣ̀ς ἅπαντας περιέχον· ὁ λεγόμενος οἶκος τȢ ἐφραθᾶ ϗ ἐς δεῦρο. κατὰ ἀνατολὰς δὲ τῆς βηθλεὲμ ὡσεὶ μίλιον ἓν· ἢ ϗ πλέον τὶ, ὁρᾶται ϗ ναὸς μέγιςος· κεχαλασμένος δὲ. ἐν ᾧ τόπῳ τωτότε ὄντες οἱ ποιμένες χριςȢ γεννηθέντος, ἤκȣσαν τῶν ἀγγέλων ᾀδόντων τὸ, δόξα ἐν ὑψίςοις θεῷ ϗ ἐπὶ γῆς εἰρήνη. ἐκεῖθεν δὲ αὖθις ἕως τȢ μοναςηρίȣ θεοδοσίȣ τȢ κοινοβιάρχȣ, εἰσὶν ὡσεὶ μίλια δύο. ἐπὶ κορυφὴν δὲ ὄρȣς τȣ̃το ἦν κατεσκευασμένον· ȣ̓ τοσȣ̃τον δὲ μέγα· νῦν δὲ τελείως ἐςὶ ϗ τȣ̃το ἠφανισμένον. ϗ τȢ ἐν αὐτῷ ναȢ ἡ ὀροφὴ ὑπάρχει καταβεβλημένη. ἐκεῖθεν δὲ ἀπήλθομεν ϗ εἰς τὴν λαύραν τȢ ἐν ἁγίοις

σάβα

σάβα τȣ͂ ἡγιασμένȣ τῷ ὄντι. διΐςαται δὲ αὕτη τῶν ἱεροσολύμων ὡσεὶ μίλια δέκα· κατὰ ἀνατολὰς ȣ̓͂σα ἱεροσολύμων· ἐν φάραγγι ϗ χειμάῤῥῳ μεγάλῳ· ὅςις ἄρα ἐκ τῆς πόλεως κατέρχεται ἱερȣσαλὴμ· μέσον γὰρ δύο χειμάῤῥων τὰ ἱεροσόλυμα τȣ͂ τε τῶν κέδρων ὡς προείπομεν· ϗ τȣ͂ ἑτέρȣ ὃς ῥεῖ ἐκ τȣ͂ μέρȣς τȣ͂ ἀγρȣ͂ τȣ͂ κεραμέως. ἑνȣ́μενοι δὲ ȣ̓͂τοι ὑποκάτω τῆς πόλεως, οἱονεὶ ὡς τινα νῆσον ταύτην ἀποτελȣ͂σι· τὸ ἀνατολικώτερον δηλαδὴ μέρος· ἑνωθέντες δὲ, κλαυθμῶνος κοιλὰς ὀνομάζεται. κατέρχεται δὲ ὁ χείμαῤῥος ȣ̓͂τος· ἤτοι ἡ κοιλὰς τȣ͂ κλαυθμῶνος, διὰ τῆς λαύρας τȣ͂ ἁγίȣ σάβα, ἕως αὐτὴν τὴν ἐν σοδόμοις λεγομένην νεκρὰν θάλασσαν· κατεσκεύασαι δὲ ἡ λαύρα αὕτη ὑπὸ τȣ͂ ἁγίȣ σάβα· ϗ ἐσδεῦρο ἵςαται ταῖς αὐτȣ͂ εὐχαῖς. ἔςτι δὲ ὁ ναὸς τῆς λαύρας ταύτης, δρομικὸς ϗ ὡραῖος· τὸ μὲν μῆκος αὐτȣ͂ βήματα μεγάλα ὢν εἴκοσι ἀνοικτά· τὸ δὲ πλάτος ἑπτά. θαυμᾶσαι δὲ ἄξιον πῶς ὅ, τε ναὸς, ϗ αἱ ἄλλαι πᾶσαι οἰκοδομαὶ δυσδιήγητοι ȣ̓͂σαι, κατεσκευάσθησαν ȣ̓͂τω ῥαδίως ἐν τοιȣ́τῳ ἐρήμῳ τόπῳ ϗ ἀνύδρῳ. πλὴν τῷ θεῷ δυνατὰ ἅπαντα τὰ καλά. ἔςι δὲ ϗ ὁ τάφος τȣ͂ μεγάλȣ σάβα ἐν τῷ τέλει τῆς αὐλῆς τȣ͂ μεγάλȣ ναȣ͂· ἔμπροσθεν τȣ͂ σπηλαίȣ εἰς ναὸν μεταποιηθέντος ὑπ᾽ αὐτȣ͂. ἐν ᾧ σπηλαίῳ ϗ τὸν πύρινον ὁ σάβας ἐθεάσατο ςύλον· πολλάκις ἀπ᾽ ȣ̓ρανȣ͂ φθάνοντα μέχρι τῆς ἐν τῷ σπηλαίῳ τȣ́τῳ ἁγίας τραπέζης. ἐν τῷ ἄκρῳ τῆς φάραγγος δὲ ἅπαντα ἵδρυται ὡς εἴπομεν. ὑπεράνω δὲ τῆς λαύρας ϗ τῶν κελλίων αὐτῆς ἕςηκε πύργος ὡραῖος τετράγωνος. ὑποκάτω δὲ τȣ͂ πύργȣ ὀλίγον ὑπάρχει ϗ τὸ κελλίον τȣ͂ μακαρίȣ ἰωάννȣ τȣ͂ δαμασκηνȣ͂ μέγα ϗ ὡραῖον εἰς τάξιν πύργȣ μικρȣ͂· κάτωθεν ἐκ τῆς λαύρας ἀνεγερθέν. ἵςαται δὲ εἰσέτι· πλὴν ἡ ὀροφὴ αὐτȣ͂, ἐςὶν ἀσκεπὴς τῷ χρόνῳ καταπεσȣ͂σα. καθ᾽ ἑκάτερον μέρος τῆς εἰρημένης τȣ͂ χειμάῤῥȣ φάραγγος, ἔςι ϗ τὰ κελλία τῶν ποτὲ ἐκεῖσε ἡσυχασῶν μοναχῶν· ἕως χιλιάδες τέσσαρες ϗ δέκα ὄντα ὥς φασι. ϗ οἶμαι ὡς ἀληθὴς ὁ λόγος· πολλὰ γὰρ ϗ εἰσέτι εἰς πλῆθος ὁρᾶται ἄπειρον ὄντα. μετὰ τȣ͂το κατήλθομεν ϗ εἰς τὸν ἐν ποταμοῖς ἁγιώτατον ἰορδάνην· ὅς ἐςι κατὰ ἀνατολὰς τῶν ἱεροσολύμων. διὰ δὲ τῆς βηθανίας πρὸς αὐτὸν κατερχόμενοι, εἴδομεν ϗ τὸν λίθον, ȣ̓͂τινος ὁ χριςὸς ἐπιβὰς, ἐκάθισεν ἐπὶ πώλȣ ὄνȣ ἀναβαίνων εἰς ἱεροσόλυμα. διΐςαται δὲ ϗ ȣ̓͂τος τῶν ἱεροσολύμων ὡσεὶ μίλια τεσσαρακαίδεκα· ἐν αὐτῇ ὢν τῇ πρὸς ἰορδάνην ὁδῷ, ἐν τοῖς ἀριςεροῖς, ἐν τῷ καταβαίνειν. κἀκεῖθεν κατήλθομεν εἰς τὴν λεγομένην ἱεριχῶ· ἥτις ἄρα κεῖται ἐν τόπῳ πεδινῷ ὕδατι καταῤῥύτῳ· διΐςαται δὲ ϗ αὕτη τȣ͂ ποταμȣ͂, ὡσεὶ μίλια ἕξ. ἐν τοῖς εὐωνύμοις δὲ τῆς ἱεριχῶ, εἰ πρὸς ἕω ὁρῶμεν μιλίων διάςημα τριῶν ἕςηκε τὸ ὄρος ἐν ᾧ ὁ διάβολος ἔδειξε τῷ χριςῷ πάσας τὰς βασιλείας ὡς οἱ εὐαγγελιςαὶ φασιν. ὑποκάτω δὲ τȣ͂ ςρογγυλοειδȣ͂ς τȣ́τȣ ὄρȣς ἐστὶ ϗ τὸ σπήλαιον· ἐν ᾧ φασιν τὸν χριστὸν εἰσελθόντα,

νηστεῦ-

νηστεῦσαι τὰς τεσσαράκοντα ἡμέρας. περὶ δὲ τὸ ὄρος τῦτο εἰσὶ κ) πέτραι μέλαιναι τῷ εἴδει· ἃς εἶπεν ὁ διάβολος τῷ κυρίῳ εἰς τὸ γενέσθαι ἄρτυς. μετὰ τῦτο λοιπὸν ἀπήλθομεν κ) εἰς τὸν ἰορδάνην. ὃς ῥεῖ ἀναμεταξὺ τῶν ὀρέων τῆς ἐρήμυ κ) πρὸς δύσιν τῆς ἰυδαίας· κατερχόμενος εἰς τὴν ἐν σοδόμοις θάλασσαν τῶν ἁλῶν· τὴν λεγομένην νεκράν· διὰ τὸ μὴ ἔχειν τὶ τῶν νηκτῶν ἐν αὐτῇ· μήτε ἰχθὺν μήτ' ἄλλο τι κινύμενον τῷ ὕδατι αὐτῆς. περιτειχίζεται δὲ κ) αὕτη τοῖς ὄρεσιν ἐρήμυ τε κ) ἰυδαίας. ἁλμυρὰ δὲ λίαν ἐςί. ὑπάρχει δὲ κ) αὐτῆς ὁ περίκυκλος τῦ μεγέθυς ὡσεὶ μίλια τριακόσια. πίσσαν δὲ πολλάκις ζοφώδη ἀποδίδωσιν ἔξω ἀντὶ χώματος· δυσώδη τινὰ ἔχυσαν ὀδμήν· εἰς ἔλεγχον οἶμαι τῆς τῶν σοδομητῶν μοχθηρίας κ) κολάσεως. κ) γὰρ πέντε τῶν σοδόμων πόλεις, ὑπὸ τὸ ὕδωρ τῦτο κατεπόθησαν ὡς λόγος. ἔστι δὲ ὁ ἰορδάνης ὑ τοσῦτον μέγας ποταμὸς, ὅσον ῥεῖ τάχος· ἀλσώδης δέ ἐστι ὡς ἐπίπαν ἑκατέραις ταῖς ὄχθαις αὐτῦ κ) καλαμώδης· κατάθωλον ἔχων πάντοτε τὸ ὕδωρ. εἴη δὲ τὸ πλάτος αὐτῦ τῷ ἔαρι μάλιστα ὡσεὶ λίθυ βολήν· τῷ χειμῶνι δὲ κ) εἰς τόξυ βολὴν εὑρίσκεται. γλυκὺ δὲ ἔχει τὸ ὕδωρ. ἐξ ὕπερ καὶ ἡμεῖς πολλάκις ἐπίομεν ἐκ τύτυ· ἐγγὺς νυχθημέρυ ἐν τῇ αὐτῦ καταμείναντες ὄχθῃ· πλείυς γὰρ ἦμεν τῶν δισχιλίων οἱ ἐκεῖσε μετὰ τὸ μέγα κ) ἅγιον παραγεγονότες πάσχα· ὡς ἔθος ἐστὶ τοῖς ἐκεῖσε. ἀλλὰ δὴ κ) διὰ τὸν τῶν ἀράβων φόβον· πολλοὶ ὕτω συναπέρχονται ἐκ πασῶν τῶν γενεῶν· κ) αἱρετικοὶ οἱ ἐκεῖσε παραγενόμενοι. πέραν δὲ αὐτῦ κατὰ ἀνατολάς· ὀλίγον διάστημα ἐν τῇ ἐρήμῳ, ἔστι κ) τὸ λεγόμενον ὄρος ἑρμονιεὶμ σμικρότατον ὂν ἐξ ῦ ἡλίας ὡς εἰς ὑρανὺς ἀνῆλθε. ὡσεὶ μίλια δὲ δύο ἐγγὺς τῦ ἑρμονιεὶμ ἐν χειμάρρῳ ἐστὶ κ) τὸ σπήλαιον· ἐν ᾧ φασὶ κ) ἰωάννην τὸν πρόδρομον· τὸν τοσῦτον διανύσαντα χρόνον μέχρις ὅτε ἐξῆλθε βαπτίζων· ἀλλὰ δὴ κ) χριστὸν αὐτὸν πολλάκις φασὶν ἐκεῖσε παραγενέσθαι· ἐπεὶ ἐν τῇ ἐρήμῳ τῦ ἰορδάνυ ἐςὶ τὸ τοιῦτον σπήλαιον. σύνεγγυς δὲ τῦ ἰορδάνυ ἐςὶ κ) τὸ τῦ βαπτιςῦ ἰωάννυ μοναςήριον· περιεχόμενον κάςρῳ· ἐν ἀνωγέῳ δὲ τὴν ἐκκλησίαν ἔχει διὰ τὸ μέγα καῦμα τῦ χώρυ ὡς οἶμαι. ἀλλὰ δὴ κ) τὰ κελλία ὑπεράνω ἔχει πρὸς τὰ τείχη τῦ κάςρυ. ἐκ τύτυ ὖν τῦ μοναςηρίυ πρὸς νότον ὡσεὶ μιλίων τεσσάρων, ἕςηκεν εἰσέτι κ) τὸ τῦ ἁγίυ γερασίμυ μοναςήριον· μοναχῶν ἔρημον ὄν. ταῦτα ἄρα κ) ἕτερά τινα ἰδόντες ἐκεῖσε κ) καθιστορήσαντες τῷ νῷ ὡς δυνατὸν ἦν, ἀνήλθομεν αὖθις ἐν ἡμέρᾳ μιᾷ εἰς ἱεροσόλυμα. κἀκεῖθεν εἰς τὴν τῦ φιλίππυ κατήλθομεν καισάρειαν· τὸ νῦν ὀνομαζόμενον ῥάμπλιον. σύνεγγυς δὲ τύτυ τῦ ῥαμπλίυ κ) ἡ λύδδα· ἐν ᾗ τὸν αἰνέαν πέτρος ἤγειρε. εἴδομεν δὲ εἰς τὸ ῥάμπλιον κ) τὸν τῦ μεγαλομάρτυρος γεωργίυ ναόν· κ) τὸν τῆς χήρας κίονα, ἐν τοῖς δεξιοῖς τύτυ ἱστάμενον. κἀκεῖθεν εἰς ἰόππην κατήλθομεν· μεγίστην πόλιν παρὰ

θάλασ-

θάλασσαν· ἔνθα ὁ πέτρος ἀνέστησε τὴν ταβηθὰ ἐκ τῶν νεκρῶν. νῦν δὲ κ̀ τȣτο ὀνομάζεται γιάφα. ἐκεῖθεν πάλιν μετὰ πλοίȣ διά τε κύπρȣ ἐλθόντες· ἀμμωρίȣ τε κ̀ σίδης κ̀ τῶν τοιȣτων ἐφθάσαμεν εἰς ἀττάλειαν· πολλȣς κινδύνȣς κ̀ μυρίȣς φόβȣς ληστῶν μάλιστα κ̀ ζημίας ἐν τῇ ὁδοιπορίᾳ ταύτῃ καθυποστάντες. πλὴν χριστὸς ὁ κυριος ἐκ πάντων ἐῤῥύσατο ἡμᾶς τῶν κακῶν τῇ αὐτȣ ἀγαθότητι· κ̀ εἰς τὰ ἴδια πάλιν ἀποκατέστησε· κ̀ διὰ πάντων κ̀ διὰ τȣτο πρέπει αὐτῷ ἡ δόξα κ̀ ἡ μεγαλοπρέπεια· σὺν τῷ πατρὶ κ̀ τῷ ἁγίῳ πνεύματι εἰς τȣς αἰῶνας. ἀμήν.

CXXVIII.

Codex chartaceus, in fine mutilus, inemendate a pluribus exaratus seculo XVI, constans chartis 238.

Continet Sermones Antiochi Monachi, Anastasii Sinaitæ, S. Ephraimi, et S. Hippolyti Portuensis, et narrationem fabulosam.

I. Pag. 1. Tit. *λόγος α΄ περὶ πίστεως.* Tum manu recentiore: *τȣ ὁσίȣ πατρὸς ἡμῶν ἀντιόχȣ λόγοι· ὃς ἔζη ἐπὶ τῆς βασιλείας ἡρακλείȣ.* Initium: *τȣ κυρίȣ συνεργȣντος.*

II. Pag. 4. Tit. *λόγος β΄ περὶ ἐλπίδος.* Initium: *ἀπὸ τῆς πίστεως προΐωμεν.* Tum sequuntur alii, nempe 3. *περὶ ἑστιάσεως.* 4. *περὶ γαστριμαργίας.* 5. *περὶ μέθης.* 6. *περὶ ἐγκρατείας.* 7. *περὶ νηστείας.* 8. *περὶ φιλαργυρίας.* 9. *περὶ δωροληψίας.* Alios sermones recensere longum esset, sunt enim plurimi, ac breves. Absolvuntur pag. 176.

III. Pag. 177. incipit veluti alius codicis alia manu antiquiore exarati pars, nempe quaternio ιβ΄. In marg. *λόγος νε΄.* Tit. *τȣ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀναστασίȣ· τȣ ἁγίȣ ὄρȣς σινᾶ· λόγος εἰς ἀδελφȣς ἐν χριστῷ κεκοιμημένȣς: δέσποτα εὐλόγησον.* Initium: *τί τȣτο σήμερον ἀγαπητοί; σπȣδαίως ὁμȣ τε κ̀ ὀξέως συνήχθημεν.* Absolvitur pag. 189.

IV. Pag. 189. Tit. *τῇ αὐτῇ ἡμέρᾳ ὁμοίως· ἐν τῷ ὄρθρῳ τȣ σαββάτȣ τῆς ἀποκρέȣ. Τȣ ὁσίȣ πατρὸς ἡμῶν κ̀ θεοφόρȣ ἐφραὶμ τȣ σύρȣ λόγος περὶ ἀγάπης· περὶ μετανοίας· περὶ τȣ σταυρȣ· κ̀ εἰς τὴν δευτέραν παρȣσίαν τȣ κυρίȣ κ̀ σωτῆρος ἡμῶν ἰησȣ χριστȣ: εὐλόγησον πάτερ: λόγος νϛ΄.* Initium: *ἀγαπητοὶ ἀδελφοὶ μηδὲν προτιμήσωμεν τῆς ἀνυποκρίτȣ ἀγαπης.*

V. Pag. 200. Tit. *κυριακῇ τῆς ἀποκρέȣ. λόγος τȣ ἐν ἁγίοις*

πατρὸς ἡμῶν κ̀ ἱερομάρτυρος· ἱππολύτȣ πάπα ῥώμης· καὶ περὶ συντελείας τȣ̃ κόσμȣ· κ̀ περὶ τȣ̃ ἀντιχρίστȣ· κ̀ εἰς τὴν δευτέραν παρȣσίαν τȣ̃ κυρίȣ ἡμῶν ἰησȣ̃ χριστȣ̃: δέσποτα εὐλόγησον: λόγος μζ'. Initium: ἐπειδὴ οἱ μακάριοι προφῆται. Absolvitur pag. 224.

VI. Pag. 224. Narratio apocrypha de interrogationibus S. Joannis, et responsionibus Christi Domini. Initium: προσελθὼν ὁ ἅγιος ἰωάννης τῷ κυρίῳ εἶπεν.

VII. Pag. 228. Tit. ἀναστασίȣ μοναχȣ̃ κ̀ πρεσβυτέρȣ τȣ̃ σιναίȣ ὄρȣς· ὁμιλία εἰς τὸν. ς'. ψαλμὸν κ̀ εἰς τὴν παράβασιν τῶν νηστειῶν. Incipit: πρέπȣσαν τὴν τῶν νηστειῶν ἀρχὴν. Mutila est in fine.

CXXIX.

Codex chartaceus, in quarto, scriptus seculo XVI, mutilus initio, et in fine, constans nunc chartis 193.

Continet Sermones quatuor pro Religione Christiana, tum alios quatuor contra Mohamethum. Scripti sunt autem lingua græca vulgari. Rex quidam seu Imperator loquens inducitur ab Auctore.

I. Pag. nunc 25. Incipit tertius sermo. Tit. λόγος τρίτος βασιλέως. Initium: πῶς ὁ χριστὸς ὁ ὑιὸς τȣ̃ Θεȣ̃, ἐκηρύχθηκε θεὸς κ̀ ἄνθρωπος, ἀπὸ τȣ̀ς ἁγίȣς, κ̀ ἀπὸ τȣ̀ς προφήτας, κ̀ ἀπ' αὐτὸν τὸν ἴδιον θεὸν κ̀ πατέρα, ἐδείξαμέν το ὅσον ἔφθανεν εἰς τȣ̀ς πρωτήτερȣς λόγȣς. Absolvitur hic tertius sermo pag. 34. tum hæc subjiciuntur: τέλος τῆς δευτέρας ἀπολογίας.

II. Pagina 37. debet esse secunda codicis, et fuit olim signata numero β'. In ea explicit præfatio, ut opinor, auctoris: deinde incipit sermo primus. Tit. ἀπολογία πρώτη· ὅτι ὁ χριςὸς εἶναι ὑιὸς θεȣ̃, κ̀ τέλειος θεὸς. κ̀ ἔστωντας νὰ εἶναι θεὸς, ἐγίνηκεν ἄνθρωπος, ὡς οἱ θεηγόροι προφῆται κηρύττȣσι. λόγος βασιλέως. Initium: μέγας ὁ θεὸς τῶν χριστιανῶν, ἀπὸ 'μένα τὸν ταπεινὸν μοναχὸν μελέτιον, εἰς ἐσένα τὸν φρονιμώτατον κ̀ συνετώτατον σαμψατῆν σφαχανῆν· ἔστωντας κ̀ νὰ λάβω ταῖς γραφαῖς ὁπȣ̃ μȣ ἔστειλες, ἐκατάλαβα τὰ ὅσα ἤθελες νάμȣ εἰπῆς, ἂν ἦτον δυνατὸν νὰ ὁμιλήσωμεν ἀλλήλως μας.

III. Pag. 34. a tergo incipit tertia Apologia. Tit. ἀπολογία τρίτη. Argumentum: πῶς ὕςερα ἀπὸ τὴν ἀνάληψιν τȣ̃ κυρίȣ, οἱ δώδεκά τȣ μαθηταὶ ἐδιδάξασιν ὅλην τὴν οἰκȣμένην, βεβαιώνοντας μὲ τὰ θαύματα τὸ κήρυγμα etc.

IV.

IV. Pag. 105. Absolvitur quarta apologia: tum hæc subjiciuntur: τέλος τῆς δ' ἀπολογίας. Deinde incipit sermo primus contra Mohamethum. Tit. κατὰ μωάμεθ, λόγος πρῶτος. Initium: καθ' ἕνας ὁπȣ̃ νὰ ἀντιλέγῃ κ̀ νὰ ἐναντιώνεται κἂν ἑνὸς, ἔχει δύο σκοπȣ̀ς. Pag. 127. κατὰ μωάμεθ λόγος δεύτερος. Initium: ἡ ἀλήθεια εἶναι μία κ̀ μοναχὴ, μὰ τὸ ψεῦδος σχίζεται εἰς πολλά. Pag. 157. κατὰ μωάμεθ λόγος τρίτος. Pag. 178. κατὰ μωάμεθ λόγος τέταρτος· βασιλέως. Initium: ὁ θαυμάσιος σολομῶν λέγει πῶς ἕνας ἀσεβὴς. Quarti sermonis finis desideratur.

C X X X.

Codex chartaceus, in octavo, constans foliis 128, scriptus seculo XVI, aut fortasse XVII, mutilus in fine. Prima pag. legitur: ἐκ τῶν ... κωνσταντίνȣ τȣ̃ ζερμιά.

Continet viginti λόγȣς, sive opuscula Matthæi Quæstoris Angeli Panareti, hominis omnibus recentiorum Græcorum schismaticorum erroribus imbuti, de quo meminit Fabricius Bibl. Græc. vol. X. pag. 532. Non omnia tamen hæc opusculi nomen merentur; sed ego auctoris, vel exscriptoris nomenclaturam secutus sum.

I. Fol. 1. Tit. τȣ̃ θωμᾶ λατίνȣ φιλοσόφȣ τȣ̃ ἀχίνȣ· τῆς τάξεως τῶν φρα κηρύκων: ... ἐν τοῖς θείοις ληπτέον ἂν εἴη τὴν ἐκπόρευσιν τȣ̃ ἁγίȣ πνεύματος. Ἀντίθεσις πρὸς ταῦτα, ματθαίȣ κοιαίστωρος· ἀγγέλȣ τȣ̃ παναρέτȣ: λόγος ά. Idest: *Thomæ Latini Philosophi Aquinatis, ordinis Fratrum Prædicatorum ... in divinis accipienda sit processio Spiritus Sancti. Confutatio Matthæi Quæstoris Angeli Panareti. Sermo Primus. Procemium Confutationis.* Tum alter titulus: τὸ προοίμιον τῆς ἀντιθέσεως. Inc. τῆς θεολογίας ὑπέρτατον κ̀ ἀκατάληπτον χρῆμα, μὴ μόνον ἀνθρωπίνην ὑπερβαίνει διάνοιαν, ἀλλὰ κ̀ αὐταῖς ταῖς ἀγγελικαῖς δυνάμεσιν ἀπρόσιτόν τε καὶ δυσθεώρητον etc. Post hoc procemium sequitur primum fragmentum opusculi S. Thomæ, tum ejus confutatio, hoc modo. Tit. ἡ ἀρχὴ τȣ̃ λόγȣ τȣ̃ θωμᾶ: idest: *Initium Sermonis Thomæ*: ἔτι δὲ περαιτέρω θεωρητέον· ὅτι πάσῃ γνώσει ἀκολȣθεῖ ὀρεκτική τις ἐνέργεια. Tum in margine: ἀγγέλȣ τȣ̃ παναρέτȣ: deinde statim sequitur: Ἀντίθεσις: — ἐντεῦθεν ἀπὸ ψεύδȣς ἀρξάμενος· πῶς εἰς ἀλήθειαν καταλήξεις; τȣ̃ θεμελίȣ γὰρ ὄντος σαθρȣ̃, κ̀ τὸν ὄροφον ἀνάγκη μὴ πάγιον εἶναι. πάσῃ γὰρ γνώσει φῆς, ὡς ἀκολȣθεῖ ὀρεκτικὴ ἐνέργεια· φημὶ δ' ȣ̓χ ȣ̃τως ἔχειν τὴν ἀλήθειαν· ἀλλὰ πάσῃ μὲν γνώσει εἴτȣν νοήσει, ἀκολȣθεῖ ὄρεξις.

II. Fol. 7. Tit. τῦ αὐτῦ φιλοσόφυ θωμᾶ τῦ ἀχίνυ λόγος ἕτερος· πῶς ἐστὶν ὁ εἰδικὸς τόπος· ἔνθα αἱ ψυχαὶ καθαίρονται πρὶν ἀπελθεῖν εἰς τὸν παράδεισον· κ) ὅτι μετὰ τὴν τελευτὴν ἅπαντες τῶν ἀνθρώπων, οἱ μὲν παράχρῆμα (sic) τῆς αἰωνίυ ἀνταποδόσεως τὰ γέρα κομίζονται· οἱ δὲ, παράχρῆμα ταῖς αἰωνίαις τιμωρῦνται βασάνοις· οἱ δὲ, καθαίρονται διὰ καθαρτηρίυ πυρὸς· κ) ὕτως εἰς τὴν βασιλείαν εἰσέρχονται. Ἀντίθεσις εἰς ταῦτα ματθαίυ κοιαίστωρος ἀγγέλυ τῦ παναρέτυ: λόγος β'. Tum incipit primum fragmentum opusculi S. Thomæ. Tit. ἡ τῦ λόγυ ἀρχὴ τῦ θωμᾶ. Initium: νῦν λείπεται θεωρῆσαι περὶ δόξης ἐνίων λεγόντων καθαρτήριον μὴ εἶναι μετὰ θάνατον etc. Postea sequitur confutatio. Tit. ἀντιθέσις ἀγγέλυ τῦ παναρέτυ. Initium: ὄντως παραπεπήγασι ταῖς ἀρεταῖς αἱ κακίαι etc. Absolvitur opusculum S. Thomæ fol. 31. a tergo, confutatio autem fol. 32. his verbis: ὡς ὕτως ἄρα δείκνυται καθαρτήριον μὴ εἶναι μετὰ θάνατον.

III. Fol. 32. in margine, recentiori manu hæc adnotata sunt = 1631. σημείωσαι ὡς εἶναι ὁ ἀχίνυ θωμὰς ἀπὸ τῦ χριστῦ ἕως νῦν τκς'. ἐν ἐκείναις ταῖς ἡμέραις ὑπῆρχε πατριάρχης κωνσταντινυπόλεως βέκκος· κ) αὐτὸς κατὰ πάντα λατινόφρων. Tum in margine: ἀπὸ τῦ χριστῦ ‚ασϟέ. Deinde subiungitur Matthæi Quæstoris hocce scholium: ἰστέον ὡς ὁ ἰταλὸς ὗτος θωμᾶς κατὰ τὺς χρόνυς ἤκμασε τῆς βασιλείας τῦ εὐσεβεςάτυ βασιλέως ἀνδρονίκυ τῦ παλαιολόγυ· τῦ διὰ τῦ θείυ κ) ἀγγελικῦ σχήματος μετονομασθέντος ἀντωνίυ μοναχῦ. τὴν οἴκησιν ἔχων ἐν νεαπόλει τῆς ἰταλίας· τῆς τάξεως ὑπάρχων τῶν φρα κηρύκων· πολὺς τυγχάνων ἔν τε τοῖς ἀριστοτελικοῖς μαθήμασι, κ) ἐν τῇ τῆς θείας γραφῆς παιδεύσει· κ) πολλὴν ἔχων τὴν αἰδὼ κ) φήμην ἐπὶ πάσῃ τῇ τῶν λατίνων ἐκκλησίᾳ· ὡς κ) νέον αὐτὸν καλεῖσθαι χρυσόστομον. πολλὰ δὲ βιβλία συγγραψάμενος τῇ ἰδίᾳ διαλέκτῳ πρὸς πᾶσαν θείαν γραφὴν· εἴς τε τὰ ἄπορα τῆς γραφης, ἀλλὰ δὴ κ) εἰς πᾶσαν θείαν γραφὴν παλαιάν τε κ) νέαν ἀπορίας κινὰς κ) πολλὰς ἐμβιβάζων κ) ἀμφισβητῶν κ) ἐπιλύων κ) καθάπταισθαι (sic) πᾶσαν τὴν γραφὴν ἀναλύων κ) διαλύων κ) σπερμολογῶν ἐριστικῶς κ) σοφιστικῶς κ) ἀπαιδεύτως πλέον ἢ ἀληθῶς· κ) κατὰ τὴν σοφίαν τῦ πνεύματος· συνεγράψατο κ) κατὰ τῆς ὑγιῦς ἡμῶν πίςεως πλεῖστα βιβλία· διαστρέφων πᾶσαν γραφὴν κ) τὰ τῶν λατίνων ἐπεκδικῶν κ) βεβαιῶν· ἅτινα κ) ἄγνωστα τῇ ἐκκλησίᾳ τῆς νέας ῥώμης ἐτύγχανον κ) πᾶσι τοῖς ὀρθοδόξοις, ἕως τῆς βασιλείας τῦ εὐσεβεστάτυ ἰώαννυ τῦ κατακυζηνῦ. κατὰ δὲ τὸ τέλος τῆς αὐτῦ βασιλείας, θεσσαλονικεύς τις κυδώνις τὸ ἐπώνυμον μεμυημένος τῆς λατινικῆς διαλέκτυ, πάντα τὰ βιβλία ἐκείνυ, τῇ ἑλληνίδι διαλέκτῳ ἐξέδωκε· μέγιστα τινὰ κ) ξένα κ) θαυμάσια δοκῦντα τύτῳ, κ) τισὶ

τῶν

τῶν αὐτȣ̃ φίλων τε ϗ συνήθων· ἐξ ὧν ϗ τινα συνεγράφησαν ϗ μετεγράφησαν ϗ παρὰ τȣ̃ βασιλέως τȣ̃ κατακȣζηνȣ̃, ϗ ἀπετέθησαν ἐν τῇ αὐτȣ̃ βιβλιοθήκῃ· ἅτινα τȣ̃ θεȣ̃ διδόντος ἡμῖν σχολὴν, πάντα περιφανῶς ἀναιρήσομεν, ὡς ϗ τȣ́τȣς τȣ̀ς αὐτȣ̃ λόγȣς τȣ́ς τε περὶ καθαρτηρίȣ πυρὸς συγγραφέντας· ϗ περὶ τῆς ἐκπορεύσεως τȣ̃ ἁγίȣ πνεύματος.

IV. Fol. 33. Opusculum tertium. Tit. ματθαίȣ κοιαίστωρος ἀγγέλȣ τȣ̃ παναρέτȣ, ἀνασκευὴ τῶν λεγομένων παρὰ λατίνων, ὡς ὁ πάπας ἔχει τὴν ἀρχὴν πάσης ἐκκλησίας, λαβὼν αὐτὴν κατὰ διαδοχὴν ἀπὸ τȣ̃ μακαρίȣ πέτρȣ· ϗ ὡς ἔξεστιν αὐτῷ κατὰ πᾶσαν ἐξȣσίαν ϗ δογματίζειν ϗ ποιεῖν ὅσα ϗ βȣ́λοιτο: λόγος τρίτος. Incipit: φασὶν οἱ λατῖνοι, ὡς τῷ μακαρίῳ πέτρῳ.

V. Fol. 46. Opusculum quartum. Tit. ματθαίȣ κοιαίστωρος τȣ̃ παναρέτȣ λόγος κατὰ τῆς ἀθέȣ ϗ πνευματομάχȣ ἀσεβείας τῶν θεομάχων λατίνων: εἰς κεφάλαια ἕξ: λόγος. δ'. Incipit: ταῦτα τὰ ἓξ κεφάλαια προφέρȣσιν οἱ λατῖνοι. Agit de processione Spiritus Sancti, et solvere conatur sex Catholicorum argumenta, quibus invicte probant Spiritus Sancti processionem ex Patre Filioque.

VI. Fol. 51. Opusculum V. Tit. τȣ̃ αὐτȣ̃ ἀπόδειξις εἰς ὅσα πίπτȣσιν ἐξ ἀνάγκης οἱ λατῖνοι τὰ ἄτοπα, λέγοντες, τὸ πνεῦμα τὸ ἅγιον ϗ ἐκ τȣ̃ ὑȣ̃ ἐκπορεύεσθαι: λόγος. έ. Incipit: τοῖς λέγȣσι ϗ ἐκ τȣ̃ ὑȣ̃ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, δύο αἴτια ἐξ ἀνάγκης ἕπεται λέγειν. Agit de eadem re.

VII. Fol. 52. Opusculum VI. Tit. τȣ̃ αὐτȣ̃ περὶ τῶν ἄλλων ἀτοπημάτων τῶν κακοδόξων λατίνων. κδ'. ὄντων. λόγος. ϛ'. Incipit: ά. ὅτι θύοντες ἄζυμα, τὴν νέαν καταλύȣσι διαθήκην. Enumerat quatuor ac viginti Latinorum, ut ipse perperam loquitur, ἀτοπήματα. I. est, quod azymo pane utantur in Missa. II. quod ἄνευ ζέȣ, i. sine aqua calida sacrificium offerant. III. quod populo speciem panis sine specie vini distribuant. IV. quod baptismum conferant sine immersione. V. quod sacerdotes uxoribus carere jubeant. VI. quod episcopatus vendantur. Proh putidam calumniam! VII. quod consanguinitatis gradus non serventur: nam duo fratres binis sororibus nubunt. VIII. quod mulieres ob menstrua immundæ ad altare accedant. IX. quod feria 4. carnibus vescantur, et feria sexta caseo ac ovis. X. quod Sabbato jejunent, neque carne, aut caseo, aut ovis vescantur. XI. quod sola Quadragesima jejunent incipientes a feria 4. primæ hebdomadis. XII. quod omnibus immundis animalibus vescantur, testudinibus, ranis, cochleis, ostreis etc. XIII. quod simul cum Judæis comedant. XIV. quod omnibus volucribus suffo-

suffocatis vescantur. XV. quod proprias urinas bibant in febribus quartanis. XVI. quod purgatorium ignem admittant, et supplicii finem, qui est Origenis error a quinta Generali Synodo damnatus. Puras putas calumnias ne mirere lector. XVII. quod Canones Sanctorum Apostolorum a Sancto Clemente compositos non admittant. XVIII. quod barbam radant. XIX. quod templorum altaria promiscue habeant alia quidem orientem respicientia, alia austrum, alia septentrionem. XX. quod eorum Sacerdotes modo fungantur Sacerdotis officio, et sacrificium offerant, modo iidem fungantur officio Diaconi, et aliquando etiam Subdiaconi, ac Sacerdoti ministrent in Liturgia. XXI. quod in eadem mensa eodem die plures Sacerdotes diverso modo Liturgiam perficiant. XXII. quod in Festivitate Nativitatis Christi unus et idem sacerdos media nocte Liturgiam perficit, tum diluculo, ac demum circa tertiam aut quartam horam diei liturgiam rursus perficiat. XXIII. quod chirothecas ex animalium pellibus in manibus ferentes Archiepiscopi, et Papa incruentum Sacrificium offerant, et sancta dona manibus ita indutis tractent. En aliam calumniam. XXIV. quod hebdomadam *τυροφάγον* dissolvant, nempe *τὴν τῶν νηστειῶν προκαθάρσιμον*, carnem comedentes. Hæc sunt quæ Latinis objicit schismaticus iste homo, quæ verbis ipsius utens retuli.

VIII. Fol. 60. Opusculum septimum. Tit. *πρὸς τοὺς λατίνους λέγοντας τὸν θεῖον πέτρον ποιμένα τῶν ἀποστόλων καὶ μείζονα καὶ πρῶτον τῷ ἀξιώματι· διὸ καὶ τὸν πάπαν ἀξιοῦσι πρὸς πάσας τὰς ἐκκλησίας, τοιοῦτον εἶναι κατὰ τὸν ἀπόστολον πέτρον: λόγος ζ'.* Incipit: *ὅτι μὲν ὁ θειότατος πέτρος.*

IX. Fol. 62. Opusculum VIII. Tit. *τοῦ αὐτοῦ ματθαίου τοῦ παναρέτου κατὰ λατίνων. λόγος ή.* Tum in margine: *τοῦ βέκκου ὁμολογία.* Incipit: *εἶναι ταῦτα πάντα καὶ ἔτι ἕτερον εἰς τοιαύτην ἀτοπίαν φέρει τοῦ δόγματος.* In hoc opusculo agitur de processione Spiritus Sancti, et affertur confessio Fidei, cujus auctor ibi dicitur olim fuisse Beccus, nempe Veccus seu Beccus Patriarcha Constantinopolitanus, de quo Allatius in Græcia orthodoxa.

X. Fol. 64. Opusculum IX. Tit. *ἐκ τῆς ἐπιστολῆς τοῦ ἁγίου μαξίμου, ἣν προφέρουσιν οἱ λατῖνοι ὑπὲρ τῆς συστάσεως τοῦ ἰδίου δόγματος. λόγος θ'.* Tum sequitur hic alius tit. *τοῦ ἁγίου μαξίμου· ἐκ της πρὸς μαρῖνον κύπρον* (sic) *πρεσβύτερον ἐπιστολῆς· ἧ ἡ ἀρχή· νόμῳ θείῳ κατὰ θεὸν εὐθυνόμενος.* Non video, quomodo vocari possit *λόγος*, seu *opusculum*. Nihil enim aliud est quam fragmentum epistolæ S. Maximi ad Marinum.

XI.

XI. Fol. 65. Opusculum X. Tit. ῥήσεις γραφικαὶ τῶν ἁγίων συλλεγεῖσαι παρὰ τȣ̃ ἀνοσιωτάτȣ βέκκȣ τȣ̃ χρηματίσαντος πατριάρχȣ κωνσταντινȣπόλεως· ἐπὶ τῶν ἡμερῶν τȣ̃ διωγμȣ̃ τῶν ὀρθοδόξων, διὰ τὴν λατινικὴν αἵρεσιν εἰς τὴν ἐκκλησίαν εἰσαχθῆναι. συνήχθησαν δὲ παρ᾽ αὐτȣ̃ εἰς σύστασιν τȣ̃ πονηρȣ̃ δόγματος τῶν λατίνων· αἵτινες κατὰ τὴν εὐσεβῆ παράδοσιν τῆς ἐκκλησίας ϗ τὴν τῶν ἁγίων διάνοιαν ἐξεδόθησαν αἱ αὐταὶ ῥήσεις ϗ συνεβιβάσθησαν εἰς ἀνατροπὴν μὲν ϗ αἰσχύνην τȣ̃ πονηρȣ̃ βέκκȣ, σύστασιν δὲ τȣ̃ ὀρθȣ̃ δόγματος, παρὰ κοιαίστωρος ματθαίȣ ἀγγέλȣ τȣ̃ παναρέτȣ: λόγος ῑ: κεφ'. ά. Incipit: χρήσεις διάφοροι γραφικαὶ συλλεγεῖσαι εἰς ἀπόδειξιν τȣ̃ εἶναι τὸ πνεῦμα ϗ ἐκ τȣ̃ ὑȣ̃· μεθ' ἃς ἕτεραι χρήσεις καταστρωννύονται ἐν τῇ παρȣ́σῃ βίβλῳ εἰς ἀπόδειξιν τȣ̃ εἶναι τὸ πνεῦμα διὰ τȣ̃ ὑȣ̃ ἐκ τȣ̃ πατρός. Omitto cetera. Hunc puto esse verum titulum opusculi, post quem sequitur hic alius titulus: ματθαίȣ κοιαίστωρος ἀγγέλȣ τȣ̃ παναρέτȣ ἀντίῤῥησις κατὰ τῶν τȣ̃ βέκκȣ φλυαριῶν· ϗ συμβίβασις τῶν θείων ῥητῶν ἔς τε τὴν δόξαν τῆς ἐκκλησίας ϗ τὴν τῶν ἁγίων διάνοιαν. Incipit: ἀνόητε ἄνθρωπε· τί συγχέεις τὸ τῆς θεολογίας ἁπλȣ̃ν. In hoc longo opusculo afferuntur alternis verba Becci sub his verbis, ὁ βέκκος: et confutatio Matthæi Quæstoris sub his verbis: τȣ̃ παναρέτȣ ῥήσεις ἁγίων συλλεγεῖσαι παρὰ ματθαίȣ κοιαίστωρος ἀγγέλȣ τȣ̃ παναρέτȣ· κατὰ τῆς τῶν λατίνων κακοδοξίας ϗ ἡ ἐκ τȣ́των ἀπόδειξις τȣ̃ ὀρθȣ̃ δόγματος: λόγος ιά. Initium: ἐπιστολὴ θεοδωρήτȣ ἐπισκόπȣ κύρȣ πρὸς τὸν ἀντιοχείας ἰωάννην· γραφεῖσα etc. Nihil aliud est hoc opusculum quam collectio locorum ex Sanctis Patribus desumptorum, Theodoreto, Cyrillo, et aliis una cum Matthæi Quæstoris scholiis, in quibus probare conatur schismaticus homo Spiritum Sanctum ex Patre Filioque non procedere. Etsi adjecta sint ea verba in titulo λόγος ιά, non est tamen novum opusculum, sed continuatio decimi.

XII. Fol. 115. Opusculum undecimum. Tit. περὶ τῆς ἁγίας ϗ οἰκȣμενικῆς συνόδȣ, ἥτις ἀποκατέστησε τὸν φώτιον τὸν ἁγιώτατον πατριάρχην εἰς τὸν θρόνον κωνςαντινȣπόλεως· ϗ διέλυσε τὰ σκάνδαλα τῶν δύο ἐκκλησιῶν τῆς παλαιᾶς ϗ νέας ῥώμης· ϗ τὸ ἅγιον σύμβολον ἐκύρωσε μένειν ϗ ἀναγινώσκεσθαι καθὼς ἐξέθεντο οἱ θεῖοι πατέρες ἐν ταῖς ἁγίαις ἑπτὰ συνόδοις· ἀπὸ τȣ̃ λόγȣ τȣ̃ βέκκȣ· ȣ̃ ἡ ἀρχή· ἦν ἂν μακάριον ἀληθῶς εἴγε τȣ̃ εὐαγγελίȣ κήρυγμα ἁπλȣ̃ν τε ϗ ἀνεξέταστον τῇ τȣ̃ χριστȣ̃ ἐκκλησίᾳ διέλαμπεν εἰς ἀεί: ιά. Incipit: ἐπεὶ γὰρ παρῆλθε μὲν τῶν ὧδε νικόλαος. Post folium 115. deest folium: ideoque hoc opusculum est mutilum. Absolvitur fol. 118.

XIII. Fol. 118. Opusculum XII. Tit. *ματθαίȣ κοιαίστωρος ἀγγέλȣ τȣ̃ πανωρέτȣ· πῶς κ̀ τίνα τρόπον κ̀ ἐν ποίοις χρόνοις ἐχωρίσθη ἡ ἐκκλησία τῆς πρεσβυτέρας ῥώμης ἀφ' ἡμῶν· καὶ πῶς ἀπεκόπη τῶν διπτύχων κ̀ τῶν πρωτείων ἐστέρηται: λόγος ιβ'.* Incipit: *ἐν τῇ ἑβδόμῃ συνόδῳ, πάπας ῥώμης ἦν ἀδριανός.*

XIV. Fol. 119. Opusculum XIII. Tit. *τȣ̃ αὐτȣ̃· ἀνασκευὴ τῶν συλλογισμῶν τῶν λατινων δἰ ὧν συλλογίζονται ὅτι κ̀ ἐκ τȣ̃ ὑιȣ̃ τὸ πνεῦμα τὸ ἅγιον ἐκπορεύεται· ἐπεὶ κ. τ. λ. λόγος. ιγ'.* Incipit: *οἱ τοῖς ἀριστοτελικοῖς μεγαλαυχȣ̃ντες συλλογισμοῖς.*

XV. Fol. 122. Opusculum XIV. Tit. *λόγος ιδ'. ἀγγέλȣ τȣ̃ πανωρέτȣ πρὸς λατίνων διάλεξις.* Incipit: *ἤρετό με τῶν λατίνων τις τάξεως τῶν φρα κηρύκων.* Refert dialogum ab ipso habitum cum quodam Theologo ordinis Prædicatorum de primatu Papæ.

XVI. Fol. 124. Opusculum XV. Titulus est nimis longus: itaque prima et postrema ejus verba tantum exscribo. *Ἰωάννȣ πάπα ἐπιστολὴ πρὸς τὸν ἁγιώτατον πατριάρχην φώτιον πεμφθεῖσα διὰ τοποτηρητῶν... εὑρέθη δὲ ἡ τοιαύτη ἐπιστολὴ ἐν βιβλίῳ ἁγιωρειτικῷ τῆς μονῆς τȣ̃ βατοπεδίȣ· εὑρέθη κ̀ ἐνταῦθα ἐν τῇ κωνσταντινȣπόλει ἐν βιβλίῳ παλαιῷ: ιέ.* Tum alius titulus: *ἐπιστολή.* Incipit: *ἰωάννης ἐπίσκοπος δȣ̃λος τῶν δȣ́λων τȣ̃ θεȣ̃· φωτίῳ τῷ αἰδεσιμοτάτῳ κ̀ καθολικῷ ἀδελφῷ, πατριάρχῃ κωνσταντινȣπόλεως χάριν ἄνωθεν πρὸς ἔργα σωτηριώδη. Ουκ ἀγνοεῖν συμβαίνει ἡμᾶς ὥς τινες.*

XVII. Fol. 125. Opusculum XVI. Tit. *ἐκ τῶν κανόνων τῆς ἁγίας κ̀ οἰκȣμενικῆς ταύτης συνόδȣ· ἀπὸ τȣ̃ νομοκανόνȣ ληφθέντων ὧν ἡ ἐπιγραφὴ ἐν τῷ νομοκανόνῳ ἔχει καθὼς προεγράφη ἐν τῇ τȣ̃ πάπα ἰωάννȣ ἐπιστολῇ. κανὼν ά. ις'.* Incipit: *ὥρισεν ἡ ἁγία κ̀ οἰκȣμενικὴ σύνοδος αὕτη· ὥστε εἴ τινες τῶν ἐξ ἰταλείας* (sic) *κληρικῶν* etc.

XVIII. Fol. 125. Opusculum XVII. Tit. *ἀπὸ τῆς ἀποκαλύψεως τȣ ἁγίȣ ἰωάννȣ τȣ̃ θεολόγȣ· ὅπερ προφέρȣσιν οἱ λατῖνοι, εἰς σύστασιν τȣ̃ ἰδίȣ δόγματος· ὅτι κ̀ ἐκ τȣ̃ ὑιȣ̃ ἐκπορεύεται τὸ ἅγιον πνεῦμα: λόγος ιζ'.* Incipit: *καὶ ἔδειξέ μοι ποταμὸν καθαρόν.* Post locum Apocalypsis sequitur scholium *ἀγγέλȣ τȣ̃ πανωρέτȣ*, quod incipit: *κ̀ ἐκ τȣ́τȣ τȣ̃ ῥητȣ̃, τῶν λατίνων οἱ σοφοὶ ῥακιοσυρραπτάδαι* etc.

XIX. Fol. 126. Opusculum XVIII. Tit. *ἕτερον ἐκ τῶν λατίνων προφερόμενον τȣ̃ ἀποστόλȣ, ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς θεσσαλονικεῖς δευτέρας· ὅτι ἐκ τȣ̃ ὑιȣ̃ τὸ πνεῦμα: λόγος. ιή.* Incipit: *καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος* etc. Tum sequitur *τȣ̃ πανωρέτȣ* scholium incipiens: *τὸ πνεῦμα τὸ ἅγιον λεγεται κ̀ πνεῦμα θεȣ̃.*

XX. Fol. 127. Opusculum XIX. Tit. ματθαίȣ κοιαίστωρος ἀγγέλȣ τȣ͂ πανα ρέτȣ περὶ τȣ͂ ζέȣ ὕδατος· κατὰ τίνα τρόπον ἐν τοῖς θέιοις μυστηρίοις ἐισβάλλεται· μεμψαμένȣ τȣ͂το τινὸς ἐπισκόπȣ λατίνων. λόγος ιθ'. Incipit: οἱ φῶρες προσεγκαλȣ͂σιν, νῦν ἐστιν ἐιπεῖν· σίμων γάρ τις ἐπίσκοπος τȣ͂ περὶ τὸν πορθμὸν τῆς σικελίας πολιχνίȣ τȣ͂ ὀνομαζομένȣ ῥηγίȣ, μέμψιν ἐπάγων κατὰ τῆς ἡμετέρας ἐκκλησίας, ἤρετο διὰ ποῖον τρόπον ζέον ὕδωρ etc.

XXI. Fol. 128. Opusculum XX., cujus finis deest. Tit. ματθαίȣ κοιαίστωρος ἀγγέλȣ τȣ͂ πανάρετȣ· πότε ἰσοδυναμεῖ ἡ ΔΙΑ' τῇ ΕΚ ἐπὶ τῆς θεολογίας· καὶ πότε ȣ̓κ ἰσοδυναμεῖ. λόγος κ'. Incipit: ὅτε ἡ ΔΙΑ' μόνη ἐπὶ τῆς θεολογίας εὑρίσκεται. Postrema quæ supersunt verba, sunt hæc: ἀλλὰ καὶ ὁ μέγας κύριλλος.

Omnia hæc opuscula inedita esse arbitror; nec vero digna quæ edantur.

C X X X I.

Codex chartaceus, in 12mo, constans chartis 227, scriptus seculo XVII. a pag. 5. ad paginam 186. manu aliquanto vetustiore; in aliis vero chartis manu recentiore.

I. In primis 4. chartis narratio quædam legitur ex Herontico desumpta, et incipiens: διηγήσατο ἡμῖν ὁ ἀββᾶς θεονᾶς περὶ τȣ͂ ἀββᾶ μαρκέλλȣ.

II. Pag. 5. Titulus: διάταξις, μοναχικός (sic). Initium: δύνοντος τȣ͂ ἡλίȣ κάθισον ἐν τῷ κελλίῳ σȣ ἡσύχως·

III. Pag. 16. Tit. εὐχὴ ἐις τὸν κύριον ἡμῶν ἰησȣ͂ν χριστὸν· διὰ στίχων κατὰ αβ'. Initium: ἀνέικαστε μακρόθυμε χριστὲ μȣ, σύγγνωθί μȣ. Sequuntur deinceps aliæ orationes ordine pariter alphabetico compositæ.

IV. Pag. 24. Tit. γρηγορίȣ τȣ͂ θεολόγȣ· ἀκροστιχοί. Initium: ἀρχὴν ἁπάντων καὶ τέλος ποιȣ͂ θεόν. Tum sequuntur aliæ quoque orationes ordine Alphabetico digestæ.

V. Pag. 32. Tit. θρῆνος τȣ͂ ἀββᾶ ἡσαΐȣ. Initium: οὐαί σοι ψυχὴ ἁμαρτάνȣσα μετὰ τὸ ἅγιον βάπτισμα.

VI. Pag. 34. *b.* Deest nomen auctoris. Tit. πρός τινα μονάσαντα ἄῤῥωστον· καὶ ἀποβάλλεσθαι τὸ σχῆμα μετὰ τȣ͂ ὑγιᾶναι σκεπτόμενον. Initium: τάχα ȣ̓͂τε σε μοναχόν.

VII. Pag. 36. *b.* Tit. ἀπόκρισις πρὸς ἀδελφόν. Initium: ἀδελφὸς ἦλθεν πρὸς τὸν μέγαν ἡσαΐαν καὶ λέγει αὐτῷ· εὖξαι ὑπὲρ ἐμȣ͂ ἀββᾶ. Absolvitur pag. 46. Tum sequuntur quatuor fragmenta S. Joannis Chrysostomi.

VIII. Pag. 53. *b.* Tit. τȣ̃ ὁσίȣ πατρὸς ἡμῶν συμεὼν τȣ̃ νέȣ θεολόγȣ· περὶ ἀρχῆς βίȣ· λίαν ἐπωφελȣ̃ς κ̉ σωτηρίȣ· ἁρμοζȣ́σης τοῖς ἄρτι τῷ κόσμῳ ἀποτασσομένοις· κ̉ πρὸς τὸν μοναδικὸν ἀποτρέχȣσι βίον· κ̉ διδασκαλία εἰς ἀρχαρίȣς λυσιτελεστάτη. Initium: πᾶς ἄνθρωπος ἀδελφοὶ, ὅστις τῷ κόσμῳ κ̉ τοῖς ἐν κόσμῳ ἀποταξάμενος. Opus nondum editum. Memorat Allatius inter ejus opera num. XXVI. pag. 153. *de Simeonibus*. Absolvitur pag. 73. Tum sequuntur nonnulla brevia fragmenta sine ullo ordine congesta.

IX. Pag. 106. Tit. τȣ̃ ἁγίȣ ἀναστασίȣ τȣ̃ σιναΐτȣ: — Ἐρώτησις. Initium: πόθεν ἡ ψυχὴ τȣ̃ ἀνθρώπȣ πολλάκις λαλεῖ τινὰς ἔνδον λογισμȣ̀ς. Postea sequitur Ἀπόκρισις.

X. Pag. 120. Narratio apocrypha, et insulsa. Titulus: ἀνάμνησις περὶ τȣ̃ ἄθωνος ὄρȣς. τὰ λεγόμενα πάτρια· κ̉ πῶς ἐλθόντος τῆς ὑπεραγίας θεοτόκȣ· πρὶν τῆς τελευτῆς αὐτῆς. Initium: μετὰ τὴν ἀνάληψιν τȣ̃ μεγάλȣ θεȣ̃ κ̉ σωτῆρος ἡμῶν ἰησȣ̃ χριστȣ̃.

XI. Pag. 126. Tit. τȣ̃ ὁσίȣ πατρὸς ἡμῶν ἐφραὶμ λόγος περὶ ψυχῆς ῥαθυμȣ́σης etc. Initium: ψυχὴ μὴ κατάπιπτε· μὴ θλίβȣ.

XII. Pag. 149. Tit. τȣ̃ ἐν ἁγίοις πατρὸς ἡμῶν ἰωάννȣ ἀρχιεπισκόπȣ κωνσταντινȣπόλεως τȣ̃ χρυσοστόμȣ λόγος εἰς τὸν μάταιον βίον τȣ̃τον· πρὸς ὠφέλειαν τῶν ψυχῶν ἡμῶν: κύριε εὐλόγησον. Initium: ὅσοι τὰ τȣ̃ βίȣ μάταια. Hæc oratio edita est inter opera S. Ephræm Syri, qui est ejus auctor.

XIII. Pag. 171. *b.* Titulus: λόγος τȣ̃ ἁγίȣ ἰσαὰκ, ὠφέλιμος: εὐλόγησον πάτερ. Initium: πρὸ πάντων φοβȣ̃ τὸν θεὸν κ̉ μνημόνευε τȣ́τȣ πάντοτε.

XIV. Pag. 176. Tit. διδασκαλία ἐπίτομος κ̉ πάνυ ὠφέλιμος· ἐκτεθεῖσα παρὰ τῶν ἁγίων πατέρων. Initium: ἡ τῶν ἀληθινῶν χριστιανῶν πίστις. Pag. 186. in fine hujus opusculi calligraphus hæc adnotavit: εὔχεσθε κ̉ ὑπὲρ ἐμȣ̃ διὰ τὸν κύριον: γεροντίȣ μοναχȣ̃· κ̉ ἐλαχίστȣ: τέλος. Quæ sequuntur recentiore manu scripta ex Gerontico exscripta sunt.

C X X X I I.

Codex chartaceus, in folio, scriptus seculo XVII, constans chartis 194.

Continet Florilegium, seu collectionem sententiarum e Sacris Bibliis, ac Sanctis Patribus. Pag. 1. Tit. + ἀποφθέγματα προφητῶν κ̉ ἁγίων πατέρων. Initium: εὐλογεῖ με ὁ λαος ȣ̃τος τῷ στο-

στόματι αὐτῶν. Fragmenta autem, quibus contextum est hoc florilegium, sunt eorum qui sequuntur, nimirum Sacrorum Scriptorum: tum constitutionum Apostolicarum, Chrysostomi, Cyrilli Jerosolymitani, Marci Monachi, S. Maximi, S. Basilii, Isidori Pelusiotæ, Cyrilli Alex., Nili Monachi ἐκ τȣ̃ πρὸς ἀγάθινον μοναχόν, Nicephori Archiep. Constantinopolitani ἐκ τȣ̃ κατὰ εἰκονομάχων, Gregorii Theologi, Nili Monachi ἐκ τῶν πρὸς εὐκάρπȣ μοναχȣ̃, et ἐκ τȣ̃ κατὰ ματθαῖον, Joannis Climaci, Dionysii Areopagitæ, Theodoreti, Athanasii ἐκ τῶν ἐρωτήσεων, Serini (Σερίνȣ), Josephi ἐκ τῶν μακαβαϊκῶν, Diadochi ἐκ τῶν ἀσκητικῶν, Eusebii Pamphili ἐκ τȣ̃ πρὸς μαρῖνον (pag. 28.), Gregorii Nysseni ἐκ τȣ̃ εἰς τὸ πάτερ ἡμῶν, Palladii ἐκ τȣ̃ βίȣ τȣ̃ χρυσοςόμȣ, Clementis ἐκ τῶν περὶ ἐλεημοσύνης, Nemesii ἐπισκόπȣ ἐμέσης περὶ προνοίας, Epiphanii, Nemesii Episcopi ἐκ τȣ̃ περὶ φιλανθρώπȣ, S. Epiphanii περὶ τῶν δώδεκα λίθων τῶν ἐν τῷ λογίῳ τȣ̃ ἱερέως ἐμπεπηγμένων (pag. 77, ubi affertur explicatio omnium duodecim Lapillorum ex ipso Epiphanio), et ἐκ τȣ̃ λειvοταρίȣ (pag. 93).

In postrema pagina exscriptor hæc adnotavit: τὸ παρὸν θεῖον κ̀ ἱερὸν βιβλίον ἐγράφη διὰ χειρὸς κᾀμȣ̃ τȣ̃ τάλανος κ̀ εὐτελȣ̃ς ἰωσὴφ, ἀρχιερέως τῆς ἁγιωτάτης μητροπόλεως νέων πατρῶν.... ἔτει ἀπὸ τῆς ἐνσάρκȣ οἰκονομίας 1652.

CXXXIII.

Codex chartaceus, in quarto, exaratus seculo XVII, constans chartis 402.

I. Continet homilias 37. habitas totidem Dominicis diebus. Earum auctor nusquam nominatur: sed videtur esse Theodorus ille Diaconus qui postea nominatur pag. 313. Codex sic incipit: εἶπεν ὁ κυριος· πᾶς ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κᾀγὼ etc. usque ad ȣ̓ρανοῖς. Initium homiliæ: εἰς μαρτύριον προτρέπει τȣ̀ς μαθητὰς ὁ χριστὸς, κ̀ τὰς καρδίας τȣ́των παρασκευάζει κ̀ διανιστᾷ πάντων καταφρονεῖν τῶν μελλόντων συμβαίνειν αὐτοῖς δεινῶν τε κ̀ δυσχερῶν.

II. Pag. 313. Undecim aliæ homiliæ quæ hic vocantur Synaxaria, in undecim Evangelia *matutina*. Tit. τὰ παρὰ τȣ̃ λογιωτάτȣ μεγάλȣ σακελαρίȣ τȣ̃ κυρȣ̃ θεοδώρȣ διακόνȣ, τȣ̃ μελιτηνιώτȣ, Συναξάρια ἐκτεθειμένα εἰς τὰ ἕνδεκα εὐαγγέλια, κ̀ ἀφηγȣμενα ὡς ἐν ἐπιτόμῳ μετὰ τινῶν ἐπιστασιῶν μίαν ἑκάστȣ αὐτῶν διήγησιν.

σιν· Εὐαγγελίȣ τȣ̃ πρώτȣ ἑωθινȣ̃. Initium: τῆ παρȣ́σῃ δὲ κυριακῆ ἀναγινώσκεται τὸ πρῶτον ἑωθινὸν εὐαγγέλιον, ὅπερ ὁ θειότατος ματθαῖος διέξεισιν· ὡς τελώνης ὤν. Reliquæ homiliæ inscribuntur: Συναξάριον τȣ̃ γ ἑωθινȣ̃ εὐαγγελίȣ, et συναξάριον τȣ̃ δ' ἑωθινȣ̃ εὐαγγελίȣ: et ita deinceps. Vide Fabricium vol. 9. Biblioth. græc. pag. 198.

III. Pag. 383. Epitome Divinorum Dogmatum: eodem fortasse auctore. Tit. θείων δογμάτων ἐπιτομή: προοίμιον. Initium: γλυκὺ μὲν εἶναι τὸ μέλι πᾶσιν ἀνθρώποις δοκεῖ ϗ συγκρίσεως δίχα.

CXXXIV.

Codex, in quarto, chartaceus, constans chartis 481, scriptus ab Antonio Sicano seculo XVII, mendis plenus. Desunt initio tres chartæ: constat e duobus codicibus, quorum primus absolvitur pag. 26.

I. Primus codex continet preces variis occasionibus recitandas, sed lingua græca vulgari scriptas. Pag. 2. salutatio Angelica sic legitur: χαῖρε κεχαριτωμένη μαρία· ὁ κύριος μετὰ σȣ̃· εὐλογημένη σὺ ἐν γυναιξὶ· ϗ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σȣ, ὅτι σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν. Pag. vero 18. et seqq. inseritur brevis expositio symboli Apostolorum, et Orationis Dominicæ, ac salutationis Angelicæ. In fine additur: + χεὶρ ἀντωνίȣ σικανȣ̃.

II. Alter codex incipit pag. 28. Continet 27. Sermones Alberti Marini Chii lingua græca vulgari. Primi Sermonis titulus: τȣ̃ ταπεινȣ̃ ἱερομονάχȣ ἀλβέρτȣ μαρίνȣ τȣ̃ χίȣ ϗ φιλοσόφȣ· λόγος εἰς τὴν σάρκωσιν τȣ̃ κυρίȣ ἡμῶν ἰησȣ̃ χριστȣ̃. Textus sermonis est. Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον· ϗ τȣ̃ ἀπ' αἰῶνος μυστηρίȣ ἡ φανέρωσις ὁ ὑὸς τȣ̃ θεȣ̃, ὑὸς τῆς παρθένȣ γίνεται· ϗ γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. διὸ σὺν αὐτῷ τῆ θεοτόκῳ βοήσωμεν· χαῖρε κεχαριτωμένη· ὁ κύριος μετὰ σȣ̃. Initium autem sermonis est: τέσσαρα θαύματα τȣ̃ θεȣ̃ ἀδελφοί. Absolvitur pag. 42.

III. Post pag. 42. deest charta in qua scriptum erat initium secundi sermonis, qui inscribebatur, ut constat ex indice sermonum: εἰς τὴν πρώτην κυριακὴν τῶν χριστȣ̃ γενεθλίων: et absolvitur pag. 56.

IV. Pag. 57. Tit. λόγος διδασκαλικὸς τȣ̃ αὐτȣ̃, εἰς τὸ εὐαγγέλιον πρὸ τῶν φώτων κυριακῆς. Textus incipit: ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος. Sermo incip. ἡ ἁγία ἐκκλησία, ἀδελφοὶ ἀγαπητοὶ

ἐν τῷ

ἐν τῷ αἵματι τȣ̃ ἐσταυρωμένȣ χριστȣ̃, ὡς μία μέλισσα τριγυρίζει ὅλα τὰ ἄνθη τῆς θείας γραφῆς.

V. Pag. 75. Titulus: ✝ λόγος τȣ̃ ἀλβέρτȣ ἱερομονάχȣ ϗ διδασκάλȣ εἰς τὴν ἁγίαν βάπτησιν τȣ̃ κυρίȣ ϗ θεȣ̃ ϗ σωτῆρος ἡμῶν ἰησȣ̃ χριστȣ̃. Textus incipit: ἐν ἰορδάνῃ βαπτιζομένȣ σȣ κύριε. Sermo incipit: πρὶν ὁ θεὸς ἀδελφοὶ ἀγαπητοὶ να κατεύει εἰς τὴν γῆν· δὲν ἐδυνήθησαν οἱ ἄνθρωποι.

VI. Pag. 84. Tit. λόγος τȣ̃ ταπεινȣ̃ ἱερομονάχȣ ϗ διδασκάλȣ ἀλβέρτȣ μαρινȣ τȣ̃ χίȣ· εἰς τὴν κυριακὴν μετὰ τὰ φῶτα. Textus incipit: δεῦτε λαοὶ ὑμνήσωμεν. Sermo inc. τρία πράγματα ἔχει ὁ θεὸς ἀδελφοὶ ἀγαπητοὶ.

VII. Pag. 105. Tit. τȣ̃ αὐτȣ̃ λόγος εἰς τὰς ἕνδεκα κυριακὰς τȣ̃ λȣκᾶ. Textus: ἄβυσσος ἐσχάτη ἁμαρτιῶν, etc. Sermo inc. ἄβυσσος λέγεται ἀγαπητοὶ ἀδελφοὶ τὰ θελήματα ϗ ἀπόκρυφα κρυσήματα τȣ̃ θεȣ̃.

VIII. Pag. 115. Tit. ✝ τȣ̃ αὐτȣ̃ λόγος· εἰς τὰς ιβ' κυριακὰς τȣ̃ λȣκᾶ. Textus: ὁ τρόπος τȣ̃ βιȣ μȣ αἰσχρὸς etc. Sermo incip. ἡ ἁμαρτια ἀδελφοὶ ἀγαπητοὶ ἐν τῷ αἵματι τȣ̃ ἐσταυρωμενȣ χριστȣ̃· ἐπειδὴ γίνεται ἐναντίον τȣ̃ θεȣ̃· τȣ̃ ὁποίȣ ἡ ἀγαθωσύνη εἶναι ἄπειρος ϗ αἰώνιος.

IX. Pag. 108. Tit. τȣ̃ αὐτȣ̃ εἰς τὰς ιγ' κυριακὰς τȣ̃ λȣκᾶ. Textus incipit: τὸ τριλαμπὲς τῆς μιᾶς θεότητος εὐσεβῶς ὑμνήσωμεν etc. Sermo: ὁ ἠσαΐας ὁ προφήτης· ἀδελφοὶ ἀγαπητοὶ ἐν τῷ αἵματι τȣ̃ ἐσταυρωμένȣ· ἴδε κατὰ πνεῦμα τὸν θεὸν καθήμενον εἰς ἕνα ὑψηλὸν θρόνον.

X. Pag 140. Tit. τȣ̃ αὐτȣ̃ λόγος· εἰς τὰς ιε' κυριακὰς τȣ̃ λȣκᾶ. Textus incipit: τὸν διεσπαρμένον μȣ νȣ̃ν συνάγαγε κύριε etc. Sermo: δύο δυνάμεις ἔχει ὁ ἄνθρωπος ἀδελφοὶ ἀγαπητοὶ ἐν τῷ αἵματι τȣ̃ ἐσταυρωμένȣ χριστȣ̃.

XI. Pag. 151 Tit. τȣ̃ αὐτȣ̃ λόγος περὶ προσευχῆς. Sine textu. Initium sermonis: ἡ προσευχὴ, ἀδελφοὶ, εἶναι ἀνάβασις τῆς ψυχῆς.

XII. Pag. 157. Tit. τȣ̃ αὐτȣ̃ περὶ τȣ̃ νόμȣ κυρίȣ. Incipit sermo sine textu: ὁ θεὸς ὁ παντοκράτωρ, ἀδελφοὶ ἐν τῷ αἵματι τȣ̃ ἐσταυρωμενȣ χριστȣ̃.

XIII. Pag. 164. Tit. τȣ̃ αὐτȣ̃· εἰς τὸ πάτερ ἡμῶν. Textus: πάτερ ἡμῶν ὁ ἐν τοῖς ȣ̓ρανοῖς et reliqua usque ad finem orationis Dominicæ. Sermo incipit: πάτερ ἡμῶν τῶν χριστιανῶν· ὁ ὁποῖος εἶσαι εἰς τȣ̀ς ȣ̓ρανȣ̀ς.

XIV. Pag. 174. Tit. τȣ̃ αὐτȣ̃ περὶ ἀγάπης. Textus incipit: ὁ ἐκ μὴ ὄντων παραγαγὼν etc. Sermo: οἱ μανιχαῖοι ἄνθρωποι κακόδοξοι.

XV.

XV. Pag. 184. Tit. τῦ αὐτῦ ἕτερος λόγος περὶ ἀγάπης. Textus incipit: ὁ στερεώσας καταρχὰς τὺς ὐρανὺς etc. Sermo: ὁ θεὸς ὁ παντοκράτωρ ἀδελφοί.

XVI. Pag. 197. Tit. εἰς τὴν ὕψωσιν τῦ σταυρῦ· σεπτεμβρίῳ ιδ'. Textus incipit: δεῦτε πιστοὶ τὸ ζωοποιὸν ξύλον προσκυνήσωμεν. Sermo: ἀσχυρώμεσθεν ὅλοι εἰς τὸν κύριον ἀδελφοί.

XVII. Pag. 206. Tit. λόγος κ̀ διδασκαλία τῦ ταπεινῦ ἱερομονάχυ κ̀ διδασκάλυ ἀλβέρτυ μαρίνυ τῦ χίυ· λεγόμενος εἰς τὴν κυριακὴν τῦ τελώνυ κ̀ τῦ φαρισαίυ. Textus incipit: μὴ προσευξώμεθα φαρισαϊκῶς ἀδελφοὶ etc. Sermo incipit: ἀναγινώσκομεν σήμερον εἰς τὸ εὐαγγέλιον ἀδελφοὶ ἀγαπητοί.

XVIII. Pag. 234. Tit.... ἀλβέρτυ μαρίνυ τῦ χίυ· εἰς τὴν κυριακὴν τῦ ἀσώτυ· λογος β'. Textus incipit: σὲ κύριε τὸν ὄντα ἐν πάσῃ τῇ κτίσει. Sermo: ὁ δεσπότης χριστὸς, ἀδελφοὶ ἀγαπητοὶ ἐν τῷ αἵματι τῦ χριστῦ.

XIX. Pag. 255 Tit. τῦ ταπεινῦ.... ἀλβέρτυ μαρίνυ τῦ χίυ· εἰς τὴν β' παρυσίαν. Textus incipit: ἰδὺ ἡμέρα ἔρχεται. Sermo: ἡ ἁγία ἐκκλησία ἀδελφοὶ ἀγαπητοὶ μετὰ δύο τρόπυς ἀνακαλεῖ ἡμᾶς εἰς τὴν μετάνοιαν. In fine amanuensis addit: χεὶρ ἀντωνίυ σικανῦ.

XX. Pag. 280. Tit. εὐχὴ τῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεπισκόπυ αὐγυστίνυ. Incipit: ὦ γλυκύτατε κύριε ἰησῦ χριστὲ ἀληθινὲ θεὲ· ὁ ὁποῖος ἐπέμφθης.

XXI. Pag. 284. Tit. λόγος τῦ... ἀλβέρτυ μαρίνυ τῦ χίυ· εἰς τὴν πρώτην κυριακὴν τῶν ἁγίων νηστειῶν. Textus incipit: μωσῆς ὁ θεσπέσιος διὰ νηστείας etc. Sermo: ὁ θεῖος μωυσῆς ἀδελφοὶ ἀγαπητοὶ ἐν αἵματι τῦ ἐσταυρωμένυ χριστῦ· ἠξιώθη ἵνα λαλήσει μετὰ τῦ θεῦ.

